eul_wid: mlw-ao

*Ἀριστοφάνους Σχόλια* · Aristophanes Scholia

## Scholia-Clouds

*Σχόλια εἰς Νεφέλας*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

book A 1 ῾ΥΠΟΘΕΣΙΣ ΝΕΦΕΛΩΝ ΕΑ ἈΡΙΣΤΟΦΑΝΟΥΣ. Ε τὸ δρᾶμα τὸ τῶν Νεφελῶν κατὰ Σωκράτους γέγραπται τοῦ φιλοσόφου ἐπίτηδες ὡς κακοδιδασκαλοῦντος τοὺς νέους Ἀθήνησι τῶν κωμικῶν πρὸς τοὺς φιλοσόφους ἐχόντων τινὰ ἀντιλογίαν· οὐχ, ὥς τινες, δι' Ἀρχέλαον τὸν Μακεδόνων βασιλέα, ὅτι προὔκρινεν αὐτὸν Ἀριστοφάνους. ὁ χροὸς δὲ ὁ κωμικὸς εἰσήγετο ἐν τῇ ὀρχήστρᾳ τῷ νῦν λεγομένῳ λογείῳ. καὶ ὅτε μὲν πρὸς τοὺς ὑποκριτὰς διελέγετο, εἰς τὴν σκηνὴν ἑώρα· ὅτε δὲ ἀπελθόντων τῶν ὑποκριτῶν καὶ τοὺς ἀναπαίστους διεξῄει καὶ τὰ 〈...〉, πρὸς τὸν δῆμον ἀπεστρέφετο. 〈...〉 καὶ τοῦτο ἐκαλεῖτο στροφή· ἦν δὲ τὰ ἰαμβεῖα τετράμετρα. εἶτα τὴν ἀντίστροφον ἀποδόντες πάλιν τετράμετρα ἐπέλεγον ἴσων στίχων· ἦν δὲ περὶ τὸ πλεῖστον ιϛʹ. ἐκαλεῖτο δὲ ταῦτα ἐπιρρήματα. ἡ δὲ ὅλη πάροδος τοῦ χοροῦ ἐκαλεῖτο παράβασις· Ἀριστοφάνης ἐν ῾Ιππεῦσιν VEΘNA- BarbMatrRs ἦν μέν τις ἀνὴρ τῶν ἀρχαίων κωμῳδοδιδασκάλων, ὃς ἡμᾶς

book A 1 ἠνάγκαζεν λέξοντας ἔπη πρὸς τὸ θέατρον παραβῆναι. VEΘNAMatrRs

book A 2 ῾ΕΤΕΡΩΣ ῾Η ῾ΥΠΟΘΕΣΙΣ. VE φασὶ τὸν Ἀριστοφάνη γράψαι τὰς Νεφέλας ἀναγκασθέντα ὑπὸ Ἀνύτου καὶ Μελήτου, ἵνα προδιασκέψωνται, ποῖοί τινες εἶεν Ἀθηναῖοι ἀκούοντες κατὰ Σωκράτους. ηὐλαβοῦντο γάρ, ὅτι πολλοὺς εἶχεν ἐραστάς, καὶ μάλιστα τοὺς περὶ Ἀλκιβιάδην, οἳ καὶ ἐπὶ τοῦ δράματος τούτου μηδὲ νικῆσαι ἐποίησαν τὸν ποιητήν. ὁ δὲ πρόλογός ἐστι τῶν Νεφελῶν ἁρμοδιώτατα καὶ δεξιώτατα συγκείμενος. πρεσβύτης γάρ ἐστιν ἄγροικος ἀχθόμενος παιδὶ ἀστικοῦ φρονήματος γέμοντι καὶ τῆς εὐγενείας εἰς πολυτέλειαν ἀπολελαυκότι. ἡ γὰρ τῶν Ἀλκμαιωνιδῶν οἰκία, ὅθεν ἦν τὸ πρὸς μητρὸς γένος ὁ νεανίσκος, ἐξ ἀρχῆς, ὥς φησιν ῾Ηρόδοτος, τεθριπποτρόφος ἦν καὶ πολλὰς ἀνῃρημένη νίκας, τὰς μὲν Ὀλυμπίασι, τὰς δὲ Πυθοῖ, ἐνίας δὲ Ἰσθμοῖ καὶ Νεμέᾳ καὶ ἐν ἄλλοις VEΘNRs πολλοῖς VΘNRs ἀγῶσιν. εὐδοκιμοῦσαν οὖν ὁρῶν ὁ νεανίσκος ἀπέκλινε πρὸς τὸ ἦθος τῶν πρὸς μητρὸς προγόνων. VEΘNRs

book A 3 ῾ΥΠΟΘΕΣΙΣ ΝΕΦΕΛΩΝ. Ε πρεσβύτης τις Στρεψιάδης ὑπὸ δανείων καταπονούμενος διὰ τὴν ἱπποτροφίαν τοῦ παιδὸς δεῖται αὐτοῦ φοιτήσαντα πρὸς τὸν Σωκράτην μαθεῖν τὸν ἥττονα λόγον. μὴ πειθομένου δὲ τοῦ μειρακίου αὐτὸς ἐλθὼν μανθάνει μαθητὴν τοῦ Σωκράτους ἐκκαλέσας. EΘNBarbMatrRs

book A 4 ἄλλως. EN πατὴρ τὸν υἱὸν σωκρατίζειν προτρέπεται· καὶ τῆς περὶ αὐτὸν ψυχρολογίας διατριβὴ ἱκανὴ λόγων τ' ἀπόνοια πρὸς τοὐναντίον. χορὸς δὲ Νεφελῶν ὡς ἐπωφελῆ λέγων καὶ τὴν ἀσέβειαν Σωκράτους διεξιών. ἄλλαι θ' ὑπ' ἀνδρὸς κατηγορίαι πικραί. καὶ τῶν μαθητῶν εἷς

πατραλοίας ἐκτόπως. εἶτ’ ἐμπυρισμὸς τῆς σχολῆς τοῦ Σωκράτους. τὸ δὲ δρᾶμα τοῦτο τῆς ὅλης ποιήσεως κάλλιστον εἶναί φησι καὶ τεχνικώτατον. VEΘNBarbMatrRs

book A 5 ἄλλως. EN πρεσβύτης τις Στρεψιάδης ὑπὸ δανείων καταπονούμενος διὰ τὴν ἱπποτροφίαν τοῦ παιδὸς δεῖται τούτου φοιτήσαντος ὡς τὸν Σωκράτην μαθεῖν τὸν ἥττονα λόγον, εἴ πως δύναιτο τὰ ἄδικα λέγων ἐν τῷ δικαστηρίῳ τοὺς χρήστας νικᾶν καὶ μηδενὶ τῶν δανειστῶν μηδὲν ἀποδοῦναι. οὐ βουλομένου δὲ τοῦ μειρακίου διαγνοὺς αὐτὸς ἐλθὼν μανθάνειν, μαθητὴν τοῦ Σωκράτους ἐκκαλέσας τινὰ διαλέγεται. ἐκκυκληθείσης δὲ τῆς διατριβῆς οἵ τε μαθηταὶ κύκλῳ καθήμενοι πιναροὶ συνορῶνται, καὶ αὐτὸς ὁ Σωκράτης ἐπὶ κρεμάθρας αἰωρούμενος καὶ ἀποσκοπῶν τὰ μετέωρα θεωρεῖται. μετὰ ταῦτα τελεῖ παραλαβὼν τὸν πρεσβύτην, καὶ τοὺς νομιζομένους παρ’ αὐτῷ θεούς,

book A 5 Ἀέρα, προσέτι δὲ Αἰθέρα καὶ Νεφέλας, κατακαλεῖται. πρὸς δὲ τὴν εὐχὴν εἰσέρχονται Νεφέλαι ἐν σχήματι χοροῦ· καὶ φυσιολογήσαντος οὐκ ἀπιθάνως τοῦ Σωκράτους ἀποστᾶσαι πρὸς τοὺς θεατὰς περὶ πλειόνων διαλέγονται. μετὰ ταῦτα δὲ ὁ μὲν πρεσβύτης διδασκόμενος ἐν τῷ φανερῷ τινα τῶν μαθημάτων γελωτοποιεῖ· καὶ ἐπειδὴ διὰ τὴν ἀμαθίαν ἐκ τοῦ φροντιστηρίου ἐκβάλλεται, ἄγων πρὸς βίαν τὸν υἱὸν συνίστησι τῷ Σωκράτει. τούτου δὲ ἐξαγαγόντος αὐτῷ ἐν τῷ θεάτρῳ τὸν ἄδικον καὶ τὸν δίκαιον λόγον καὶ διαγωνισθεὶς ὁ ἄδικος πρὸς τὸν δίκαιον λόγον καὶ παραλαβὼν αὐτὸν ὁ ἄδικος λόγος ἐκδιδάσκει. κομισάμενος δὲ αὐτὸν ὁ πατὴρ ἐκπεπονημένον ἐπηρεάζει τοῖς χρήσταις, καὶ ὡς κατωρθωκότος εὐωχεῖ παραλαβών. γενομένης δὲ περὶ τὴν εὐωχίαν ἀντι-

book A 5 λογίας πληγὰς λαβὼν ὑπὸ τοῦ παιδὸς βοὴν ἵστησι· καὶ προσκαταλαλούμενος ὑπὸ τοῦ παιδός, ὅτι δίκαιον τοὺς πατέρας ὑπὸ τῶν υἱῶν ἀντιτύπτεσθαι, ὑπεραλγῶν διὰ τὴν πρὸς τὸν υἱὸν σύγκρισιν ὁ γέρων κατασκάπτει καὶ ἐμπίπρησι τὸ φροντιστήριον τῶν Σωκρατικῶν. τὸ δὲ δρᾶμα τῶν πάνυ δυνατῶς πεποιημένων. VEΘNMABarbMatrRs

book A 6 αἱ πρῶται Νεφέλαι ἐδιδάχθησαν ἐν ἄστει ἐπὶ ἄρχοντος Ἰσάρχου, ὅτε Κρατῖνος μὲν ἐνίκα Πυτίνῃ, Ἀμειψίας δὲ Κόννῳ. διόπερ Ἀριστοφάνης ἀπορριφεὶς παραλόγως ᾠήθη δεῖν ἀναδιδάξας VERs τὰς Νεφέλας VRs τὰς δευτέρας καταμέμφεσθαι τὸ θέατρον. ἀτυχῶν δὲ πολὺ μᾶλλον καὶ ἐν τοῖς ἔπειτα οὐκέτι τὴν διασκευὴν εἰσήγαγεν. αἱ δὲ δεύτεραι Νεφέλαι ἐπὶ Ἀμεινίου ἄρχοντος. VERs

book A 7 τοῦτο ταὐτόν ἐστι τῷ προτέρῳ. διεσκεύασται δὲ ἐπὶ μέρους ὡς ἂν δὴ ἀναδιδάξαι μὲν αὐτὸ τοῦ ποιητοῦ προθυμηθέντος, οὐκέτι δὲ τοῦτο δι’ ἥν ποτε αἰτίαν ποιήσαντος. καθόλου μὲν οὖν σχεδὸν παρ’ ἅπαν μέρος γεγενημένη διόρθωσις· τὰ μὲν γὰρ περιῄρηται, τὰ δὲ παραπέπλεκται, καὶ ἐν τῇ τάξει καὶ ἐν τῇ τῶν προσώπων διαλλαγῇ μετεσχημάτισται. ἃ δὲ ὁλοσχερῆ τῆς διασκευῆς τοιαῦτα ὄντα τετύχηκεν· αὐτίκα ἡ παράβασις τοῦ χοροῦ ἤμειπται, καὶ ὅπου ὁ δίκαιος λόγος πρὸς τὸν ἄδικον λαλεῖ, καὶ τελευταῖον ὅπου καίεται ἡ διατριβὴ Σωκράτους. VERs

book A 8 τὴν μὲν κωμῳδίαν καθῆκε κατὰ Σωκράτους ὡς τοιαῦτα νομίζοντος, καὶ Νεφέλας καὶ Ἀέρα, καὶ τί γὰρ ἄλλ’ ἢ ξένους εἰσάγοντος δαίμονας· χορῷ δὲ ἐχρήσατο Νεφελῶν πρὸς τὴν τοῦ ἀνδρὸς κατηγορίαν· διὰ τοῦτο οὕτως ἐπεγράφη VEΘNMMatrRs τὸ δρᾶμα. VΘNM διτταὶ δὲ φέρονται Νεφέλαι. οἱ δὲ κατηγορήσαντες Σωκράτους Μέλητος καὶ Ἄνυτος. VEΘNMMatrRs

book 1 (1) Στρεψιάδης· (2) δοῦλος Στρεψιάδου· (3) Φειδιππίδης· (4) μαθητὴς Σωκράτους· (5) Σωκράτης· (6) χορὸς Νεφελῶν· (7) δίκαιος λόγος· (8) ἄδικος λόγος· (9) Πασίας δανειστής· (10) μάρτυς NEΘNMAMatrRsNp Πασίου· (11) ἕτερος δανειστής· VRsNp (12) Ἑρμῆς· (13) μαθητὴς εἷς τῶν φιλοσόφων· (14) Ξανθίας οἰκέτης Ἑρμοῦ· (15) ἕτερος φιλόσοφος. V

book 1a παρεπιγραφή. συγκεκαλυμμένος καὶ καθεύδων ὑποτέθειται, ἑξῆς ἀνακαλυψάμενος καὶ ἔξω τὴν κεφαλὴν ποιήσας τοῦ περιβλήματος. RΘN

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1b ἰοὺ ἰού ΕΘΝΜ: σχετλιαστικὸν ἐπίρρημα. διὰ τὸ ἐγρηγορέναι καὶ ἀγρυπνεῖν δυσφορῶν ἀναβοᾷ. συμβαίνει γὰρ τοῖς ἀγρυπνοῦσι μάλιστα μεγάλας τὰς νύκτας νομίζειν. RVEΘNMBarbMatr 〈ἠγρύπνει δὲ ὁ Στρεψιάδης μὴ δυνάμενος ὑπνώττειν ὑπὸ τῆς τῶν χρεῶν φροντίδος.〉 Ald

book 2a ὦ Ζεῦ REΘN βασιλεῦ REΘNM: οὐκ ἀργῶς χρὴ τοῦτο νομίζειν τὸν ποιητὴν εἰρηκέναι· ἔχεται γὰρ ἱστορίας τοιαύτης. τοῖς Ἀθηναίοις πυθόχρηστον ἐγένετο καταλῦσαι μὲν τὰς βασιλείας, προστήσασθαι δὲ RVEΘNMAMatr καὶ σέβειν RV Δία βασιλέα. RVEΘNMAMatr ὥστε τὸ λεχθὲν τῆς ἱστορίας ταύτης ἔχεσθαι χρὴ νομίζειν. RVEΘNMMatr

book 2b εἰώθασι παρὰ τὰς συμφορὰς ἀναβοᾶν τὸν Δία, ὡς παρὰ τῷ ποιητῇ Ἀγαμέμνων προθελύμνους ἕλκετο χαίτας ὑψόθ’ ἐόντι Διί. RV

book 2c τὸ χρῆμα REΘbisN τῶν νυκτῶν ὅσον EΘpr.N: τὸ μέγεθος, τὸ ἔκταμα. RVEΘbisN ἔθος δὲ τοῖς Ἀττικοῖς ἐπαγωγῇ χρῆσθαι, οἷον “ἵππος σπάνιόν τι χρῆμα”, “γυνὴ κακόν τι χρῆμα”, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, VEΘbisN ὧν ἂν ἐξαίρειν βούλωνται μάλιστα. V

book 3a ἀπέρατον REΘN: μέγα, RVEbisΘNBarb οὗ πέρας οὐκ ἔστιν. RVEΘ- NMBarbMatr οἱ δὲ “ἀπέραντον” μετὰ τοῦ ν γράφοντες ἁμαρτάνουσιν. ζητεῖται δέ, πῶς μεγάλας τὰς νύκτας λέγει· διονυσιακοῦ γὰρ ὄντος τοῦ δράματος συνεστάλθαι τὰς νύκτας ἀνάγκη διὰ τὸ τοιούτῳ καιρῷ ὑποπίπτειν τὰ Διονύσια. πλὴν εἰ μὴ τούτῳ μεγάλαι καταφαίνονται διὰ τὸ φροντίζειν, ὅπερ πάσχειν συμβαίνει τοὺς ἀγρυπνοῦντας. RVEΘN

book 3b τοῦτο καὶ ὀργιζόμενος δύναται λέγειν. VN

book 4 ὡς τῶν ἄλλων μὲν ἀμεριμνούντων, αὐτοῦ δὲ φροντίζοντος. RVEΘNBarb- Matr διὰ τοῦτο καὶ “ῥέγκουσιν” ἐπήγαγεν, ἵνα μᾶλλον αὐτοὺς δείξῃ πάσης ὄντας ἔξω φροντίδος· τῶν γὰρ βαθέως καθευδόντων ἴδιον τὸ ῥέγκειν, RVEΘ- NMBarbMatr τῶν δὲ μηδὲν φροντιζόντων τὸ βαθέως καθεύδειν. RV

book 5a οἰκέται REΘNMBarbMatr: νῦν οἰκέτας οὐ τοὺς θεράποντας μόνον λέγει, ἀλλὰ πάντας τοὺς κατὰ τὴν οἰκίαν. RVEΘNMBarbMatr καθεύδουσιν οὖν πάντες. RVEΘNBarbMatr

book 5b alpha ῥέγκουσιν] οὕτως Ἀττικοὶ διὰ τοῦ κ. N

book 5b beta ἀττικὸν τὸ σχῆμα. V

book 5c ἀλλ’ οὐκ ἂν πρὸ τοῦ EΘN: ἀλλ’ οὐκ ἂν VEΘN πρότερον RVEΘN ἐν τῇ εἰρήνῃ. R ἐν γὰρ τῇ εἰρήνῃ, φησίν, ἐξέπεμπον αὐτοὺς ἐργασομένους RVbisEΘNA εἰς τοὺς ἀγρούς, RVbis ὡς ὑπὸ τὴν περὶ τὴν γεηπονίαν ἀσχολίαν μὴ ἀνέτως μηδὲ οὕτω βαθέως δύνασθαι καθεύδειν. RVbisEΘN

book 6 πόλεμος ἦν κατ’ ἐκεῖνο καιροῦ καὶ τοσοῦτον ἐδυστύχησαν Ἀθηναῖοι, ὥστε μηδὲ τὰ σώματα τῶν ἀποθανόντων ταφῆναι, ἕως οὗ οἱ δοῦλοι ἐξελθόντες ἐνίκησαν τοὺς Λακεδαιμονίους περὶ Ἀργενούσας καὶ τὰ σώματα τῶν ἀποθανόντων ἐκόμισαν. καὶ διὰ τοῦτο ἐλευθερώθησαν καὶ οὐκ ἐξῆν οὐδενὶ τύπτειν δοῦλον. RV

book 8 ἀλλ’ οὐδ’ ὁ χρηστὸς REΘN οὑτοσὶ REΘ νεανίας R: νῦν οὖν οὐκ ἐπαινῶν αὐτὸν χρηστόν φησιν, ἀλλ’ ἐν εἰρωνείᾳ· RVEΘN ἀντὶ τοῦ “ἄχρηστος RV ἡμῖν γεγονώς”. V πῶς γὰρ δύναται θαυμάζειν, ὃν ἐπὶ ῥᾳθυμίᾳ μέμφεται; RVEΘN

book 9a alpha 〈ἐγείρεται τῆς νυκτός: οὕτως οἱ Ἀττικοί.〉 Su. II 192, 6

book 9a beta τῆς νυκτός] τὸ σχῆμα ἀττικόν. E

book 9b πέρδεται] καὶ τοῦτο ἀττικόν. V

book 10a ἐν πέντε σισύραις: στερεὰ EΘNM περιβλήματα παχέα. REΘNM ταῖς νῦν καλουμέναις 〈...〉 σισύραις. EΘN ἔστι δὲ φαῦλα καὶ μικρὰ περιβλήματα. EΘ

book 10b ἐγκεκορδυλημένος EΘNM: ἐγκεκρυμμένος. EΘNMA

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 10c ἐγκεκορδυλημένος R: ἐγκεκαλυμμένος RVE καὶ συνεστραμμένος, ὥστε μηδ’ ἀνθρώπου σχῆμα δηλοῦν, RV ἀλλ’ ἐξοχὴν φαίνεσθαι τῶν στρωμάτων. κορδύλη δὲ ἰδίως λέγεται τὸ ἐν τῇ κεφαλῇ ὑπερεξέχον οἴδημα ὑπὸ πληγῆς εἰς ὕψος καὶ ὄγκον ἀρθέν, ὃ καλοῦμεν κόνδυλον. Κρέων δὲ ἐν τῷ πρώτῳ τῶν Κυπριακῶν κορδύλην φησὶ καλεῖσθαι τὸ πρὸς κεφαλῇ προσείλημα, ὃ δὴ παρὰ Ἀθηναίοις καλεῖται κρώβυλον, παρὰ δὲ Πέρσαις κιδάριον. ὅτι δὲ νῦν “ἐγκεκορδυλημένος” ἐνειλημένος καὶ ἐγκρύψας ἑαυτόν, δηλοῖ σαφέστερον ἐκ τῶν ἐπιφερομένων εἰπὼν ἀλλ’ εἰ δοκεῖ, ῥέγκωμεν ἐγκεκαλυμμένοι. V

book 10d ἐγκεκορδυλημένος N: ἐντετυλιγμένος. NbisMNp

book 10e ἰστέον, ὅτι λήγοντος τοῦ χειμῶνος, ἀρχομένου δὲ τοῦ ἔαρος γίνεται τὰ Διονύσια, ὥστε διὰ τὸ κρύος RVEΘNMBarb καὶ ψῦχος RV αὐτοὺς εἰκὸς καθεύδειν RVEΘNMBarb τοιούτῳ σχήματι τὴν κεφαλὴν περιβεβλημένους· VEΘNMBarb ὥστε καὶ πέντε περιβόλαια περιβεβλῆσθαι τὸν υἱόν. VEΘNBarb

book 11 ἀλλ’ εἰ δοκεῖ, ῥέγκωμεν R: παρεπιγραφή· ποιήσας γὰρ ἀσχήμονα τὴν ὄψιν καὶ VEΘNM τὸ σχῆμα τοῦ νεανίσκου μιμησάμενος, ὥσπερ ἐκεῖνος ἐκάθευδεν, ἀποστραφεὶς καὶ αὐτὸς πειρᾶται δῆθεν καθεύδειν ἐγκρύψας τὴν κεφαλὴν τοῖς περιειλήμασιν. RVEΘNMA

book 12a ἀλλ’ οὐκ ἔπεισί μοι ὕπνος. εὐθὺς δὲ καὶ τὴν αἰτίαν ἐπάγει τοῦ μὴ δύνασθαι καθεύδειν. EΘ

book 12b δείλαιος EΘ: ἄθλιος, κακοδαίμων. EΘN

book 12c δακνόμενος REΘN ὑπὸ τῆς δαπάνης N: ἐνοχλούμενος RVA ὑπὸ τῶν τῆς ἱπποτροφίας ἀναλωμάτων. RVEΘNBarb δοκεῖ γὰρ δαπανηρὸν εἶναι ἵππους τρέφειν. RVEΘNA ὅπερ καὶ τῇ λακωνικῇ προσέζευκται κατάρᾳ· καὶ γὰρ δὴ καὶ τοῦτο οἱ Λακεδαιμόνιοι ἐν κατάρας ἔθεσαν μέρει. VEΘNA τὸ δὲ “δακνόμενος” ἔλαβεν ἀπὸ τοῦ αὐτὸν προσκεκλίσθαι εἴσω τῶν στρωμάτων VEΘNBarb καὶ τῶν περιβλημάτων. EΘN

book 12d τὸ “χρεῶν” νῦν περισπαστέον· δηλοῖ γὰρ “τῶν ὀφλημάτων”. VEΘN εἴρηται δὲ παρὰ τὸ “τῶν κόρεων”, τουτέστι τὰ δεσμὰ τοῦ χόρτου, ἵνα ἑξῆς καὶ ἀκολούθως τῇ φάτνῃ λέγειν δοκῇ. VEΘNBarb

book 14 ὁ δὲ κόμην ἔχων EΘN: ἐκόμων γὰρ οἱ περὶ ἱππικὴν ἔχοντες. REΘ- NABarb κἀν τοῖς Ἱππεῦσι μὴ φθονῆτε ἡμῖν κομῶσι EΘNBarb μηδ’ ἀπεστλεγγισμένοις. EΘN

book 15 ἱππάζεταί τε M: ξυνωρὶς τὸ μὴ πλῆρες ἅρμα, ἀλλ’ ἐκ δυοῖν ἵππων συνεστώς, ὃ νῦν δίφρον καλοῦμεν. τὸ δὲ “ἱππάζεται” οὐχ ἁπλῶς χρὴ “περὶ ἱππικὴν ἔχει” 〈νοεῖν〉, ἀλλὰ REΘNMBarb τὸ ἐπὶ ἑνὸς ἵππου ὀχεῖσθαι· REΘNMABarb καὶ οὕτως ἱππάζεσθαι EΘNBarb ὃ νῦν κελητιᾶν καλοῦμεν. REΘNMBarb

book 16a ὀνειροπολεῖ θ’ ἵππους RV: κἀν τοῖς ὀνείροις ἵππους περινοεῖ· τουτέστιν οὕτω προστέτηκε τῷ πράγματι καὶ οὕτω περὶ ἵππους ἐσπούδακεν, ὥστε καὶ καθεύδων ὀνείρατα περὶ ἵππων ὁρᾶν. RVMatr

book 16b ὀνειροπολεῖ θ’ ἵππους EN: τὸ ὀνειροπολεῖν καὶ ὀνειρώττειν RVEΘN ταύτῃ VΘ διενήνοχεν, ὅτι τὸ μὲν ὀνειροπολεῖν ἐπὶ τῶν ἐνύπνιον ὁρώντων, τὸ δὲ ὀνειρώττειν ἐπὶ τῶν νυκτὸς αὐτομάτως ἀφιέντων γόνον, RVEΘN ὅπερ τοῖς ἐρῶσιν ἐκτόπως συμβαίνει δόξασι τοῖς παιδικοῖς συνεῖναι. VEΘN

book 17a ὁρῶν ἄγουσαν EΘN τὴν σελήνην RN: ἢ ὅτι μετὰ REΘN τὴν R εἰκάδα ὁ μήν, καὶ προσεγγίζει τῇ τριακάδι, καὶ τῶν δανείων οἱ τόκοι αὐξάνονται, REΘN ἢ ὅτι αἱ μυστικαὶ ἡμέραι δαπανηραὶ ὑπῆρχον. EΘN

book 17b οἱ Ἀττικοὶ τὰς εἰκάδας πληθυντικῶς λέγουσιν. EΘ

book 18a χωροῦσιν] προκόπτουσιν. ENMMatr

book 18b ἅπτε παῖ λύχνον REΘN: ταῦτα πάντα παρεγκυκλήματά ἐστιν, VEΘN καὶ παρεπιγραφαί. V δεῖ γὰρ τὸν οἰκέτην τὰ προσταχθέντα ποιῆσαι, ἅψαι τὸν λύχνον καὶ δοῦναι τὸ σύμβολον, ἔπειτα καθορᾶν ἐν αὐτῷ καὶ οὕτω λέγειν τοὺς δανειστάς. RVEΘN

book 20 λογίσωμαι] ψηφίσω. REN

book 21 δώδεκα μνᾶς EΘNM Πασίᾳ EΘN: τοῦτον ὡς ἱπποτρόφον καὶ διαπορθήσαντα τὴν οὐσίαν παρεισήγαγε. χαριέντως δὲ τούτου νῦν μνημονεύει, ἐπεὶ καὶ αὐτὸς δι' ἱπποτροφίαν δοκεῖ δυστυχεῖν. EΘNM

book 22a τοῦ δώδεκα μνᾶς EΘN Πασίᾳ EN: καὶ τοῦτο παρεγκύκλημα· ἐφίστησιν ὡς διαπορῶν τοῦ δανείου τὴν αἰτίαν, εἶτα ἀναμνησθεὶς τὰ ἑξῆς ἐπάγει. VEΘN

book 22b τοῦ δώδεκα κτλ.] ἀντὶ τοῦ "ἐκ τοῦ δανείου ἐκείνου τί ἠγόρασα;" R

book 23 τὸν κοππατίαν R: κοππατίας ἵππους ἐκάλουν οἷς ἐγκεχάρακτο τὸ κ στοιχεῖον, ὡς σαμφόρας τοὺς ἐγκεχαραγμένους τὸ ς. RVEΘNMMatr τὸ γὰρ ς κατὰ τὸ ϻ χαρασσόμενον ϻὰν ἔλεγον. αἱ δὲ χαράξεις αὗται καὶ μέχρι τοῦ νῦν σῴζονται ἐπὶ τοῖς ἵπποις. VEΘNMatr συνεζευγμένου δὲ τοῦ κ καὶ ς τὸ σχῆμα τοῦ ἐνακόσιοι ἀριθμοῦ δύναται νοεῖσθαι, οὗ προηγεῖται τὸ κόππα· καὶ παρὰ VEΘMatr τοῖς VΘMatr γραμματικοῖς οὕτω διδάσκεται, καὶ καλεῖται κόππα ἐνενήκοντα. VEΘMatr τινὲς δὲ κοππατίαν ἐξηγήσαντο τὸν κόπτοντα καὶ κοιλαίνοντα ταῖς ὁπλαῖς τὸ ἔδαφος, οὐδὲν ὄντως ὑποτιθέμενοι· οὐδὲ γὰρ βουκεφάλους ἵππους καλοῦμεν διὰ τὸ μορφὴν τοιαύτην αὐτοὺς ἔχειν, ἀλλὰ διὰ τὸ οὕτως ἐγκεχαράχθαι, ὡς VEΘNMatr οἶμαι V καὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος ἵππος ἦν, οὗ τελευτήσαντος Ἀλεξάνδρειαν ἔκτισεν, ἐντάφιον αὐτῷ τῆς ἀρετῆς χάριν ὁριζόμενος πόλιν. VEΘNMatr

book 24 εἴθ' ἐξεκόπην R: ἔπαιξε τὸ "ἐξεκόπην" παρὰ τὸ "κοππατίαν". ἀντὶ τοῦ "ὤφελον, πρὶν πρίασθαι τὸν ἵππον, τὸν ὀφθαλμὸν ἐκκεκόφθαι RV- Matr παταχθεὶς αὐτὸν VMatr λίθῳ". RVMatr

book 25 Φίλων, ἀδικεῖς Θbis: ὁ νεανίσκος τοῦτο καθεύδων ἀποφθέγγεται RVΘbis ὥς τινα τῶν συνηνιοχούντων μεμφόμενος, RVΘ ὅτι δέον αὐτὸν ἐλαύνειν μὴ ὑποσκελίζοντα μηδ' ὑποθέοντα τὰς τῶν ἵππων ὁδούς, ὡς ἀνεπικωλύτως θέοιεν, ὁ δ' ὑποθέοι καὶ ἐμποδίζοι προλαμβανόμενος τῶν ἵππων ἐκείνου τὸν δρόμον. VΘ δεῖγμα δὲ τῆς περὶ τὴν ἱππικὴν αὐτοῦ σπουδῆς τὸ φροντίζειν καὶ καθεύδοντα περὶ τούτων. Θ 〈τὸ δὲ "φίλων" οἱ μέν φασιν ἀναρμόστως καθ' ὕπνον εἰρηκέναι τὸν νεανίσκον ἀντὶ τοῦ "ὦ φίλε", οἱ δὲ κύριον ἡνιόχου.〉 Ald

book 28a 〈πολεμιστήρια: κατά τινας ἀγὼν Ἀθήνησιν ἱππικοῦ δρόμου· ἕνα δὲ δρόμον ἐκεῖ τρέχουσιν, ὥστε τὰ ἁμιλλητήρια πληθυντικῶς εἶπεν ὁ νέος σφαλλόμενος ἐκ τοῦ ὀνειροπολεῖν. πολεμιστήρια καλοῦνται καὶ τὰ πολεμικὰ ἅρματα, ἐφ' ὧν ὁπλίτης ἐπιβέβηκεν ἅμα τῷ παραβάτῃ· ταῦτα δὲ ἐξεῦρεν ὁ Θησεύς. ἁμιλλητήρια δὲ τὰ ἀγωνίσματα.〉 Ald

book 28b πόσους κτλ.] πόσους καμπτοὺς πεποίηκας; ἔστι δὲ εὕρημα τοῦτο τοῦ Θησέως. R

book 28c πολεμιστήρια] εἰσὶ γὰρ καὶ ἀγωνιστήρια. E

book 30 〈ἀτὰρ τί〉 Ald: τί δὴ μετὰ ταῦτα R ὄφλημα V κατέλαβέ RNNp με; R 〈Εὐριπίδης τί χρέος ἔβα δῶμα;〉 Ald

book 31a διφρίσκου: δίφρος καλεῖται τὸ σκεῦος, ἐφ' ᾧ οἱ ἡνίοχοι ἐφεστῶτες ἐλαύνουσιν. RVMatr

book 31b διφρίσκου EΘN: ὑποκοριστικῶς εἶπε τοὺς διφρίσκους διὰ τὸ μικροὺς εἶναι καὶ κούφους τοῖς ἀγωνιζομένοις κατὰ τὸν ἀγωνιστικόν. VEΘNMatr

book 31c Ἀμυνίᾳ RVEΘ: καὶ οὗτος ΘMatr τῶν περὶ ἵππους πταισάντων. RVEΘMatr μέμνηται δὲ αὐτοῦ καὶ ἐν τοῖς Σφηξίν. νῦν δὲ οὐκ ἐκείνου καθαπτόμενος μνημονεύει αὐτοῦ, ἀλλὰ τὸν ἄρχοντα

διασύρειν βουλόμενος τῇ ἐκείνου προσηγορίᾳ ἐχρήσατο. τότε γὰρ ἦρχεν Ἀμεινίας Προνάπους υἱός. VEΘMatr

book 31c alpha ἐκεῖνον οὖν ἐπισκῶψαι θελήσας παρέτρεψε τὸ ι εἰς υ καὶ παρεγραμμάτισε γελοίως, ἐπεὶ νόμος παρὰ τοῖς Ἀθηναίοις μὴ φανερῶς τὸν ἄρχοντα κωμῳδεῖν. διὰ τοῦτο καὶ Ἀμυνίαν εἶπεν, οὐκ Ἀμινίαν. EΘ

book 31c beta ἐπεὶ οὖν Ἀθηναίους πρότερον κωμῳδεῖν τὸν ἄρχοντα ὁ νόμος ἐκώλυεν, ἀφαιρέσει μὲν τοῦ ι, προσθέσει δὲ τοῦ υ παρατρέψας ὀλίγον Ἀμυνίαν αὐτὸν εἶπεν ἀντὶ τοῦ Ἀμινίαν. V

book 31d Ἀμεινίᾳ] κύριον. V

book 32a τὸν ἵππον Barb ἐξαλίσας NBarb: κυλισθῆναι ποιήσας NbisAM- BarbMatr περὶ τὴν κόνιν. Matr ἀλίνδειν γὰρ τὸ ἐν κόνει κυλίεσθαι. Barb καὶ οἱ τόποι, ἐν οἷς τοῦτο ποιοῦσιν οἱ ἵπποι, ἀλινδῆθραι. NA καὶ ἐν τοῖς Βατράχοις ὁ αὐτὸς “ἀλινδήθρας”, τουτέστιν ἐκκυλίσματα. N

book 32b ἐξαλίσας] κυλίσας. RBarb

book 33 ἐξήλικας] ἐξέβαλες, RVNA ἐξεκύλισας, M ἐξέωσας. REM

book 34a alpha ὅτε καὶ δίκας ὤφληκα EΘN: ἐπιτάσει χρῆται ταύτῃ, ὅτι ἐπὶ τῷ ζημιωθῆναι εἰς τὴν ἱπποτροφίαν καὶ εἰς δίκας ἐμπεπτώκειν. EΘNM

book 34a beta ἐπιτείνεται τὸ κακόν, ὅτι ἐπὶ τῷ ζημιωθῆναί με ἔτι καὶ δίκας ὀφείλω. EΘN

book 34b χἄτεροι: ἀντὶ τοῦ “καὶ ἄλλοι”· ἀττικῶς εἶπεν. M

book 34c χἄτεροι τόκου EΘN: λείπει ἡ ὑπέρ· καὶ ἕτεροι EΘNM ὑπὲρ τοῦ τόκου VEΘNM ἐνέχυρα λήψεσθαι παρ’ ἐμοῦ VEΘNMA φασιν. VEΘNM

book 34d μᾶλλον τὴν ὄχλησιν δείκνυσι τὴν κατ’ αὐτοῦ δι’ οὕς φησι τόκου χάριν ἐνεχυριάσαι αὐτὸν ἀπειλεῖν. EΘN

book 34e καὶ γὰρ οὐ τοῦ δανείου χάριν, ἀλλὰ τοῦ τόκου ἐνεχυράσασθαι ἀπειλοῦσιν. EΘN

book 35a τοῦτο ἐγερθείς φησιν· οὐ γὰρ ὀνειροπολεῖ ἔτι. E

book 35b τοῦτο οὐκέτι ὀνειροπολούμενος, ἀλλ’ ἐγερθεὶς VMatr λέγει τὸν πατέρα ἑωρακὼς ὀδυρόμενον. V

book 36 τί … στρέφῃ] τί περιστρέφῃ συνεχῶς κόπτων σαυτόν; R

book 37a alpha παίζει, ὡς εἰ ἔλεγε “κόρις” ἢ “ψύλλα”. REΘMatr

book 37a beta δάκνει με EΘ δήμαρχός EΘM τις EΘ: παίζων τὴν ψύλλαν καλεῖ EΘNMMatr ἢ τὴν κόριν. N

book 37b οἱ δήμαρχοι οὗτοι τὰς ἀπογραφὰς ἐποιοῦντο τῶν ἐν ἑκάστῳ δήμῳ χωρίων, καὶ τὰ ληξιαρχικὰ γραμματεῖα παρ’ αὐτοῖς ἦν, συνῆγόν τε τοὺς δήμους, ὅτε δέοι, καὶ ψῆφον αὐτοῖς ἐπεδίδοσαν, καὶ ἐνεχυρίαζον. EΘMAMatr

book 37c ὄνομα πολιτείας οἱ δήμαρχοι VEΘNMatr παρὰ τοῖς Ἀθηναίοις οἱ πρώην ναύκραροι καλούμενοι V οἱ ἐνεχυριάζοντες VEΘNMatr τοὺς ἀγνώμονας τῶν χρεωστῶν. EΘNMatr

book 38a καταδαρθεῖν EΘN: Ἀττικοὶ παροξυτόνως καταδάρθειν. VEΘN

book 38b καταδαρθεῖν V: κυρίως τὸ ἐπὶ δέρματος κοιμᾶσθαι. VEΘNMMatr

book 38c καταδαρθεῖν] κατακοιμηθῆναι. RV

book 38d τοῦτο εἶπεν ὁ νεανίσκος καὶ συγκαλυψάμενος καὶ στραφεὶς πάλιν ἄρχεται ὑπνοῦν. VEΘN

book 41a ἰδίᾳ τὸ “φεῦ”. V

book 41b alpha προμνήστρι’] ἡ προξενήτρια, REM ἡ προνοήσασα τῶν γάμων. R

book 41b beta προμνήστρια: ἡ προνοήσασα 〈τῶν γάμων〉, ἡ νῦν προξενήτρια. V

book 42a

ἐπῆρε VEM: κυρίως V ἀνεχαύνωσεν, RVE ἀνεκούφισεν, VEMbis ἐπαγγελλομένη προῖκα

book 42a alpha δώσειν μεγάλην· καταχρηστικῶς δὲ ἀντὶ τοῦ “ἀνέπεισεν”. E

book 42a beta μεγάλην εἰσοίσειν τὴν γυναῖκα, οἰκουρὸν φάσκουσα εἶναι μὴ οὕτως ἔχουσαν. V

book 42b ἐπῆρε] ἠπάτησε. RN

book 43 ἥδιστος] ἄλυπος. R

book 44a alpha εὐρωτιῶν EΘN: ἀντὶ τοῦ “ἱδρῶν”. ἑρμηνεύει δὲ τοῦτο διὰ τοῦ “εἰκῇ κείμενος”· εὐρωτιῶσι γὰρ τὰ εἰκῇ κείμενα νοτιζόμενα, EΘ- NA ἐπεὶ τοῖς ἀμελῶς κειμένοις ἱδρὼς προσίζει, τουτέστι νοτίς. EΘN

book 44a beta εὐρωτιῶν R: τοῦ “εὐρωτιῶν” ἐξήγησις τὸ “εἰκῇ κείμενος”· τοῖς γὰρ εἰκῇ καὶ ἀμελῶς κειμένοις ἱδρὼς προσίζει καὶ νοτίς. RV

book 44b alpha τοιοῦτος ὁ τῶν ἀγροίκων βίος, RVEΘNMMatr ὥσπερ αὖ ἐπιμελὴς καὶ καθάριος ὁ τῶν ἀστικῶν. R 〈διόπερ καὶ εἰς πενίαν συνεχῶς ὑπὸ τῶν ποιητῶν τύπτεται καὶ ὀνειδίζεται, ὥς φησι Μένανδρος εἰς τὰ καθαρὰ λιμὸς εἰσοικίζεται.〉 Su.

book 44b beta οὕτω ζῶσιν οἱ ἀγροῖκοι, οἱ δὲ ἀστικοὶ τοῦ ἑαυτῶν βίου ἐπιμελοῦνται καὶ οὐδὲν περιττὸν ἐῶσι κεῖσθαι, ὅθεν καὶ καθάριος ὁ βίος τούτων ἐστίν. ὅθεν καὶ ὑπό τινων ποιητῶν ὀνειδίζονται εἰς πενίαν κωμικῶς, ὡς εὑρίσκεται τοῦ Μενάνδρου ἔχων οὑτωσί· τὰ γὰρ καθαρὰ λοιμὸς εἰσοικίζεται. NM

book 44c ἀκόρητος RV: ἀκαλλώπιστος· RVNMatr κορεῖν γὰρ τὸ καλλωπίζειν. RV

book 44d 〈ἀκόρητος: οἱονεὶ πολὺς καὶ μὴ κορούμενος.〉 Su. I 86, 8

book 45a βρύων] αὔξων καὶ τεθηλώς. RMatr

book 45b στέμφυλα 〈κυρίωσ〉 τὰ ἀποπιέσματα τῶν ἐλαῶν. EΘNAMatr περιπτίσματα δὲ τὰ ἐκ τῶν σταφυλῶν ἀποπιεζόμενα. εὑρίσκεται δὲ καὶ τὸ στέμφυλα ἐπὶ τῶν σταφυλῶν καὶ τὸ περιπτίσματα ἐπὶ τῶν ἐλαῶν. EΘNA

book 45c alpha 〈ἀπὸ τοῦ συμβεβηκότος παρείληφε πάντα· παρ’ οἷς γὰρ ἂν ᾖ στέμφυλα καὶ πρόβατα, ἐξ ἀνάγκης ἐστὶ πολλοῦ πάντα.〉 Su. I 86, 9

book 45c beta στεμφύλοις M: τουτέστι παντοίοις καρποῖς· NM ἀφ’ ἑνὸς εἴδους πάντα τὸν καρπὸν δηλῶν. M

book 46a οὗτος τοῦ γένους ἦν τῶν Ἀλκμαιωνιδῶν, R διεβάλλετο δὲ ὡς δοῦλος. ὁ πρῶτος οὖν Μεγακλῆς Κοισύρας ἦν υἱός, ἥτις ἦν ὑπερβαίνουσα γένει καὶ πλούτῳ EΘN τοὺς κατ’ ἐκεῖνο καιροῦ, αὐχοῦσα καὶ τὸν Δία πρόγονον· N ἦν δὲ ἐξ Ἐρετρίας. διὸ καὶ κοισυρεῖσθαι τὸ μέγα φρονεῖν, EΘN καὶ κοισυρῖται οἱ γαῦροι καὶ ἐπηρμένοι. N

book 46b τοῦ Μεγακλέους EΘN: ἐδιπλασίασε τὸ ὄνομα 〈εἰρωνευόμενοσ〉. RVEΘNMatr

book 47 ἄγροικος ὢν ἐξ ἄστεος EN: 〈οὐκ ἀργῶς τῇ παραθέσει νῦν ἐχρήσατο· οὐ γὰρ ὀνειδίσαι βουλόμενος ἑαυτὸν ἄγροικον καλεῖ—ἀνόητον γὰρ καὶ ἄγροικον παντάπασι διαβάλλειν ἑαυτόν—ἀλλὰ πρῶτον μὲν λεληθότωσ〉 Su.— Ald διὰ τούτου τὴν εὐπορίαν δείκνυσι τὴν ἑαυτοῦ. οὐ γὰρ ἄν, εἰ μὴ πάνυ ἦν πλούσιος, ἐπεδικάσατο ἂν αὐτοῦ ἡ γυνὴ καὶ τῇ δόξῃ αὐχοῦσα τοῦ γένους καὶ τῇ ἐν ἄστει διατριβῇ. EΘN 〈ἀδοξεῖν γὰρ εἰώθαμεν ἐπὶ τοῖς ἀγροίκοις. ἔπειτα δὲ κἀκεῖνο θεραπεύει τῇ ἀντιθέσει, τὸ ὑποτετάχθαι αὐτὸν τῇ γυναικί· δεσπόζειν γὰρ εἰώθασιν οἱ ἄνδρες τῶν γυναικῶν. ὁ δὲ τῇ ἀντιπαραθέσει καὶ τοῦτο ἐπιστώσατο φήσας ἄγροικον αὐτὸν εἶναι, τὴν δὲ γυναῖκα πολιτικήν. θαυμαστὸν γὰρ οὐδέν, εἰ ἄνθρωπον ἰδιοπράγμονα καὶ μέτριον τοὺς τρόπους διὰ τὴν ἐπὶ τῆς ἀγροικίας δίαιταν γύναιον ὑπέταξε πολιτικὸν καὶ κατεδουλώσατο.〉 Su. Ald

book 48a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σεμνὴν R: νῦν οὐ τὴν σώφρονα RVMatr—οὐ γὰρ ἐπαινεῖ αὐτήν RV—ἀλλὰ τὴν ἀλαζόνα καὶ ὑπέρογκον RVMatr καὶ ἐφ' αὑτῇ μέγα φρονοῦσαν. R

book 48b ἢ ἔθνος, ὃ Κοισυρόπολις ὀνομάζεται, πάνυ αἰσχρὸν καὶ μυσαρόν· ἢ MMatr τὰ Κοισύρας φρονοῦσαν. NMMatr ἔστι δὲ ἐρετριακὸν τὸ ὄνομα· οὗτοι δὲ εἰς τρυφὴν διαβάλλονται. RMMatr αὕτη δὲ ἐγαμήθη Πεισιστράτῳ ἐπιχειρήσαντι τυραννεῖν. RMatr

book 48c ἐγκεκοισυρωμένην: κεκαλλωπισμένην. R

book 48d ἀντὶ τοῦ "περιττῶς κεκοσμημένην". VMMatr

book 50a ὄζων τρυγός REΘ: νέου οἴνου VEΘnMbisMatr ἢ τῆς ὑποστάθμης. REΘNMbisMatr

book 50b τρασιᾶς M: τρασιὰ ὁ τόπος, ὅπου ψύγεται τὰ σῦκα. RVEΘNMMatr

book 50c τρασιᾶς] σύκων. V

book 50d ἐρίων περιουσίας: ἀντὶ τοῦ "πόκων V πλήθους". VEM

book 50e ἐρίων N περιουσίας RN〈M〉: ἀντὶ τοῦ πλούτου. RVNMMatr

book 50f ζητῶν τὰ καθόλου ἐπὶ τὰ κατὰ μέρος ἦλθεν. N

book 50g προειπὼν καθόλου τὴν εὐδαιμονίαν τὴν ἑαυτοῦ βρύων μελίτταις καὶ προβάτοις καὶ στεμφύλοις πάλιν καταμερίζει αὐτά. ἀπὸ μὲν γὰρ τῶν προβάτων τὰ ἔρια, ἀπὸ δὲ στεμφύλων τρὺξ καὶ οἶνος, ἀπὸ δὲ τῆς τρασιᾶς τὰ σῦκα. Matr

book 51a alpha τρία εἶπε τὰ αὑτοῦ, τρυγός, τρασιᾶς (ἀντὶ τοῦ "σύκων"), ἐρίων περιουσίας, MMatr καὶ τὰ ἐκείνης. Matr ἐλεγκτικὸν δὲ τὸ τοιοῦτον σχῆμα. EΘNMatr

book 51a beta ἡ δ' αὖ μύρου, κρόκου R: πρὸς τὰ αὑτοῦ πλεονεκτήματα ἴσα καὶ τὰ τῆς γυναικὸς ἀντέθηκεν. εἰπὼν γὰρ τριῶν αὑτὸν ὀδωδέναι, τρυγός (τουτέστιν οἴνου), τρασιᾶς (τουτέστι σύκων), ἐρίων, τρία καὶ τὰ ἐκείνης ἐπήγαγεν. RV διελεγκτικὸν δὲ τὸ τοιοῦτον σχῆμα τοῦ λόγου. τῇ γὰρ ἀντιπαραθέσει τοῦ ἥττονος ἡ εὐτέλεια δείκνυται. V

book 51b καταγλωττισμάτων: εἶδος φιλημάτων περιεργότερον τὸ καταγλώττισμα· ἢ κολακευμάτων. R

book 51c εἶδος αἰσχροῦ φιλήματος τὸ καταγλώττισμα. MA

book 51d καταγλωττισμάτων] αἰσχρῶν φιλημάτων ENMMatr περιεργοτέρων. EM

book 52a λαφυγμοῦ M: τῆς περὶ τὰ ἐδέσματα RNMMatr πολυτελείας. RVN- MMatr

book 52b λαφυγμὸς τὸ ἀπλήστως ἐσθίειν. VNMAMatr Εὔπολις ἐν Κόλαξι λαφύσσεται λαφυγμὸν ἀνδρεῖον πάνυ. καὶ Ὅμηρος ἔγκατα πάντα λαφύσσει. Matr

book 52c λαφυγμοῦ R: ἀδηφαγίας. RV

book 52d λαφυγμοῦ] ἀπληστίας. E

book 52e τουτέστιν ἐκδεδιῃτημένη πολυτελὴς τρυφή. V

book 52f alpha ναός ἐστιν Ἀφροδίτης Κωλιὰς καλούμενος ἀπό τινος νεανίσκου ἀττικοῦ ἁλόντος ὑπὸ Τυράννου καὶ δεθέντος τὰ κῶλα. εἶτα ἐρασθείσης αὐτοῦ τῆς θυγατρὸς Τυράννου καὶ λυσάσης αὐτὸν ἐπανελθὼν ἄγει εἰς τὰς Ἀθήνας χαριστήριον τῇ Ἀφροδίτῃ, ἱδρύσατο δὲ ναὸν Κωλιάδα διὰ τὸ τὰ κῶλα λε〈λε〉πίσθαι. Matr

book 52f beta Κωλιάδος R: Κωλιὰς ναὸς τῆς Ἀφροδίτης οὕτω καλούμενος, ἀπὸ τοῦ συμβεβηκότος τὴν προσηγορίαν λαβών. νεανίας γάρ τις ἀττικὸς ἁλοὺς ὑπὸ Τυρρηνῶν, δεσμώτης δουλεύων, ἐρασθείσης αὐτοῦ τῆς θυγατρὸς τοῦ ἔχοντος καὶ ἀπολυσάσης, ἦλθεν εἰς τὴν οἰκείαν. καὶ οὕτως ἐλευθερωθεὶς εὐχαριστήριον τῇ Ἀφροδίτῃ RV ἐπὶ τῆς ἀκτῆς, ἐφ' ἧσπερ ἡρπάγη, R ναὸν ἱδρύσατο, RV Κωλιάδα δὲ προσηγόρευσε τὸν τόπον ἀπὸ τῶν κώλων, ἃ ἐν τοῖς δεσμοῖς κατεπονεῖτο. R

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 52g Κωλιὰς δὲ ἐκλήθη, ὅτι θύοντος τοῦ ἱερέως ἱερείου κωλῆν ἱέραξ ἥρπαξεν καὶ ἐπ' ἐκείνῳ τῷ τόπῳ ἐπεκαθέσθη· ὅθεν ὁ τόπος Κωλιὰς ἐκλήθη. V

book 52h οἱ μὲν τῶν περὶ τὴν Ἀφροδίτην ἀξιοῦσι θεῶν μίαν εἶναι διὰ τὸ γενέσεως αὐτὴν εἶναι τοῖς ἀνθρώποις αἰτίαν προϊσταμένην τῶν γάμων καὶ τῶν ἐπὶ τοῖς γάμοις μυστηρίων, ὅθεν καὶ παρὰ Ῥωμαίοις Βένερις γενετρίκις ἐν τοῖς φόροις ἐστίν. ὅθεν καὶ ἐν δευτέραις Θεσμοφοριαζούσαις Ἀριστοφάνης μέμνηται τοῦτο οὕτω που λέγων ἀλλ' εἴ τις εἰς βακχεῖον αὐτὰς ἐκάλεσεν ἢ εἰς Πανὸς ἢ ἐπὶ Κωλιάδος Γενετυλλίδος. V

book 52i ἡ Γενετυλλὶς RM δαίμων περὶ τὴν Ἀφροδίτην R τῆς γενέσεως ἔφορος. RM

book 53a alpha ἀργὸς] ἡ γυνή. EM

book 53a beta περὶ γυναικὸς λέγει. Matr

book 53b ἀλλ' ἐσπάθα R: κατανήλισκε καὶ κατήσθιεν. RVMMatr διὰ τοῦτο οὐκ ἀργὸς ἦν. VMatr σπαθᾶν δὲ τὸ ἀφειδῶς ἀναλίσκειν καὶ παρὰ τοῖς ῥήτορσιν εἴρηται πολλάκις· οἰκείως δὲ νῦν τῇ λέξει χρῆται ἐπὶ γυναικός. καὶ γὰρ ἐπὶ τῶν ὑφαινομένων σπαθᾶν λέγομεν τὸ ἄγαν κρούειν τὴν κρόκην, rVMatr ὥστε προσκαθίζειν καὶ πολλὴν μὲν ἀναλίσκειν κρόκην, ἰσχυροτέραν δὲ ἀπεργάζεσθαι τὴν ὑφήν. δύναται μὲν οὖν τὸ σπαθᾶν ἐπὶ ἀμφοτέρων νοεῖσθαι. ὅτι δὲ νῦν ἐπὶ τῷ πολλὰ δαπανᾶν παρείληπται, δῆλον ἐκ τοῦ ἐπιφερομένου ἐγὼ δ' ἂν αὐτῇ θοἰμάτιον δεικνὺς τοδὶ πρόφασιν ἔφασκον· ὦ γύναι, λίαν σπαθᾷς. V

book 53c ἐσπάθα] ἀναιδῶς VE ἀνήλισκεν. VEA

book 54 αὐτῇ κτλ.] ἔλεγον αὐτῇ δεικνὺς τὸ ἱμάτιον περιρραγέν. M

book 55 〈σπαθᾷς: ἀντὶ τοῦ "ἐργάζῃ".〉 Su. IV 414, 26

book 57a πότης ἀττικῶς ὁ ταχέως ἀναλίσκων τὸ ἔλαιον λύχνος. M

book 57b τὸν πότην λύχνον R: πότης RV λύχνος παρ' Ἀττικοῖς R ὁ πολὺ ἔλαιον ἀναλίσκων. RV

book 58 ἵνα κλάῃς R: καλεῖ τὸν παῖδα πλησίον ἐλθεῖν τῆς κλίνης, ἐφ' ἧς ἀνέκειτο, τύψειν αὐτὸν ἀπειλῶν. RV

book 59 θρυαλλίδων RV: ἀντὶ τοῦ "ἐλλυχνίων". RVEN ἢ ἀπὸ τοῦ θρύου τὸ παλαιὸν τὰ ἐλλύχνια. R

book 60 μετὰ ταῦθ' ὅπως νῷν· R: μετὰ τὸ ἐπιτιμῆσαι τῷ οἰκέτῃ ἐπὶ τὸ διήγημα ἀνατρέχει πάλιν τοῦ γάμου. RV οὐ μὴν συναπτέον πάντα τὸν στίχον, 〈...〉 μέχρι τοῦ "υἱός": εἶτα διαστήσαντα χρὴ μεθ' ὑποκρίσεως ἐπάγειν "οὑτοσί" ὡς ἀχθομένου αὐτοῦ τῇ γενέσει. V

book 61a καὶ τοῦτο εἰρωνευόμενος. RVMMatr οὐ γὰρ ἀγαθὴν αὐτὴν παρίστησιν. RV

book 61b εἰρωνικῶς MMatr καὶ τοῦτο. M

book 62a ἐλοιδορούμεθα] ἐφιλονεικοῦμεν. RENMMatr

book 62b alpha ἀντὶ τοῦ "διεφερόμεθα οὕτως, ὡς καὶ μέχρι λοιδορίας προχωρῆσαι". E

book 62b beta ἐλοιδορούμεθα] ἐστασιάζομεν, V 〈ὡς ὑπὸ τῆς φιλονεικίας καὶ εἰς λοιδορίας τραπῆναι.〉 Su. Ald

book 63a ἡ μὲν 〈γὰρ〉 ἵππον R: μέγα φρονοῦσα πάντως ἐπὶ τῷ προγόνῳ Μεγακλεῖ τῷ νικήσαντι τρὶς Ὀλύμπια καὶ δι' ἱπποτροφίαν κατελθόντι τὸν ἵππον ἐπεὶ καὶ Καλλίας ὁ δᾳδοῦχος ὁ ἐν τῇ ἱερᾷ στολῇ προελθὼν ἐπὶ τὴν μάχην εἰς Μαραθῶνα καὶ ἀριστεύσας κατὰ τῶν βαρβάρων τρὶς Ὀλύμπια νικήσας ἅρματι τὸν υἱὸν ἐκάλεσεν Ἱππόνικον. RV ⟦λέγεται δὲ τοῦτον νικῆσαι μάλιστα αἰχμαλώτου τινὸς ἐν τῇ μάχῃ τῶν βαρβάρων προσελθόντος αὐτῷ καὶ μηνύσαντος θησαυρὸν ἐπὶ μισθῷ· ὃν καὶ αὐτὸν ὕστερον ἀπέκτεινεν ὁ Καλλίας. V⟧

book 63b ἵππον ... τοὔνομα] συνετίθει τὸ ὄνομα ἐξ ἵππου. RE

book 64

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ξάνθιππον R: Ξάνθιππος μὲν οὖν ἐγένετο Περικλέους πατήρ, οὐδὲν δὲ νῦν πρὸς αὐτὸν ἐπικοινωνεῖ τὸ λεγόμενον· RV πλὴν εἰ μὴ ἄρα διὰ Κοισύραν, ἣν ἔφαμεν δούλην οὖσαν μητέρα γενέσθαι τοῦ Μεγακλέους, τὸ ὄνομα τὸ Ξανθίππου παρείληφε, V 〈παρῴδηται δὲ τὸ Περικλέους Μεγακλέους ὡσ〉 Ald ἂν δυνάμενον ἀμφότερα δηλοῦν· δριμέα γὰρ καὶ ἀστεῖα τὰ τῆς κωμῳδίας σκώμματα. V

book 66 ἐπὶ πολὺν VE μὲν οὖν V χρόνον διεφερόμεθα VE ἐμαχόμεθα V καὶ ἠμφισβητοῦμεν. VE

book 67a κοινῇ ξυνέβημεν R: ὡμονοήσαμεν RVE καὶ ἀμφοτέροις συνέδοξε. τοῦτο δὲ διότι ἀφ’ ἑκατέρων τῶν γενῶν τῷ ὀνόματι ἐπετέθη μέρος. RV

book 67b ξυνέβημεν] συνεφωνήσαμεν. N

book 68 ἐκολάκευεν, RENMMatr οἷα τοῖς μικροῖς παιδίοις συμβαίνει. MMatr

book 69 πρὸς πόλιν R: πρὸς τὴν ἀκρόπολιν. λείπει δὲ τὸ “εὐτυχήσω”. RM

book 70a ξυστίδ’ ἔχων N: ξύστις τὸ κροκωτὸν ἱμάτιον, ὃ οἱ ἡνίοχοι φοροῦσι VENM μέχρι τοῦ νῦν VM πομπεύοντες. VENM

book 70a alpha λέγεται δὲ καὶ ἡ πορφυρίς, ἣν φοροῦσιν οἱ τραγικοὶ βασιλεῖς. EN

book 70a beta χρῶνται δὲ αὐτῷ καὶ οἱ τραγικοὶ βασιλεῖς. V

book 70b ξυστὶς λέγεται τὸ πορφυροῦν ἱμάτιον, ὅπερ οἱ ἡνίοχοι χρῶνται ἐν τῇ ἱππικῇ. R

book 70c alpha 〈ξύστιδ’: προπαροξυτόνως οἱ Ἀττικοί.〉 Su. III 504, 2

book 70c beta ξύστις ξύστιδος προπαροξυτόνως. Np

book 71a τόπος RVMA τῆς Ἀττικῆς RVA οὕτω καλούμενος VM τραχὺς RVA καὶ δύσβατος. A ἐκ τούτου δὲ φελλεάτας λέγουσι Δωριεῖς τοὺς κισσηρώδεις λίθους. M αἱ δὲ αἶγες, παρὸ τὰ τραχύτερα VM καὶ ὀρεινότερα V διώκουσιν, VM εἰς τὸν τόπον ἐκεῖνον τὰ πλεῖστα διάγουσιν. V 〈καὶ ἑορτή τις περὶ τὸν Διόνυσον Φελλὸς καλούμενος.〉 Su. IV 711, 20

book 71b ἐκ τοῦ φελλέως] ἀπὸ κοινοῦ τὸ “ἐλαύνεις”. E

book 72a διφθέραν R: ποιμενικὸν περιβόλαιον ἡ διφθέρα RV ἐκ δέρματος πεποιημένον. V

book 72b ἐνημμένος: ἀντὶ τοῦ R “ἐνδεδυμένος”. RN

book 73 ἐπίθετο] οὗτος δηλονότι. R

book 74a ἵππερον M: ἔπαιξε παρὰ τὸ “ἴκτερον”. νόσημα δέ, ὃ περιχεῖται ταῖς ὄψεσι τῶν νοσούντων. οὕτω δὲ καὶ τοῖς χρήμασιν αὐτοῦ ἐπιβεβλῆσθαί φησιν ἵππερον. VMMatr

book 74b ἀντὶ τοῦ εἰπεῖν “ἴκτερον” εἶπεν “ἵππερον”. RRs

book 74c 〈ὡς ἴκτερος. ὁ περὶ τοὺς ἵππους τὸν ἔρωτα ἔχων.〉 Su. II 658, 21

book 74d ἵππερον] ἱππικὸν ἔρωτα. RVEMbisMatrRs

book 74e νόσον ἱππικήν· RVMatr διὰ τὸ πολλὰ δεδαπανηκέναι VMatr περὶ τὴν ἱπποτροφίαν χρήματα. V

book 77 ἣν ... τουτονί] ἥντινα ἐὰν ἀναπεῖσαι δυνηθῶ τὸν υἱόν. V

book 79 προσηνῶς RVE καὶ κολακευτικῶς. R

book 80 Φειδιππίδιον] τὸ ὑποκορίζεσθαι φιλίας. R

book 81 ἔθος ἐπὶ πίστει καὶ συνθήκης βεβαιώσει τὰς δεξιὰς διδόναι ἀλλήλοις. VBarb ὑπὲρ οὖν τοῦ πεισθῆναι τὸν νεανίαν ὁ πρεσβύτης ταύτην ἀξιοῖ παρ’ αὐτοῦ πίστιν λαβεῖν. καὶ Εὐριπίδης ἐν Μηδείᾳ Μήδεια δ’ ἡ δύστηνος ἠτιμασμένη βοᾷ μὲν ὅρκους, ἀνακαλεῖ δὲ δεξιᾶς πίστιν. V

book 83a κυρίως νῦν ὁ νεανίσκος ὄμνυσι τὸν Ποσειδῶ θεὸν ἱππικὸν ὄντα ἅτε καὶ αὐτὸς περὶ ἵππους ἐσπουδακώς. “τουτονὶ” δὲ οὐ τῷ κοινῷ τῶν ἀνθρώπων ἔθει χρώμενον αὐτὸν δεῖ νομίζειν λέγειν—εἰώθασι γὰρ οἱ ὀμνύντες λέγειν· μὰ τοῦτον τὸν θεόν, μὰ τοῦτον τὸν Ἀσκληπιόν—, ἀλλ’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔνδον ἀφίδρυμα ἔχοντα Ποσειδῶνος. διὰ τοῦτο καὶ ὁ πρεσβύτης τῷ ὅρκῳ ἀκολούθως ἄχθεται. V

book 83b alpha ⟨νὴ τὸν Ποσειδῶ τουτονὶ: ἅρμα δείξας ὄμνυσιν ἢ ἄλλο τι ἡνιοχικὸν ἢ πολεμικὸν σκεῦος.⟩ Ald

book 83b beta ἢ οὖν ἅρμα δείκνυσιν αὐτῷ παρακείμενον ἢ ἄλλο τι ἀφίδρυμα Ποσειδῶνος, καὶ κατὰ τούτου ὄμνυσιν. V

book 88a ἔκστρεψον RBarb: ἀντὶ τοῦ “μετάβαλε”. RVNA ἀπὸ μεταφορᾶς τῶν ῥυπουμένων ἱματίων καὶ ἐκστρεφομένων. ἐκστρέψαι δὲ ἱμάτιον τὸ ἀλλάξαι τὸ πρὸς τὸ ἔσω μέρος ἔξω. ἄλλαξον οὖν, φησί, τοὺς τρόπους σου καὶ μεταβαλοῦ. RVBarb

book 88b ὡς τάχιστα: μεταφορικῶς. τὸ γὰρ “ὡς τάχιστα” κυρίως ἐπὶ ἁρματηλάτου· ταχινὰ γὰρ τὰ ἅρματα. Barb

book 89 τὸ τέλειον “ἃ ἄν”. R

book 91a alpha ἐπεὶ οὐκ ἐπι[τρέπει] τὸν Ποσειδῶνα [ὀμνύναι, μεταβαλὼν] τὸν Διόν[υσον ὄμνυ]σιν. Matr

book 91a beta νὴ τὸν Διόνυσον R: ἐπεὶ ἐκώλυσεν αὐτὸν κατὰ τοῦ Ποσειδῶνος ὀμόσαι, εἰκότως μετέβαλεν εἰς τὸν Διόνυσον τὸν ὅρκον. RV

book 91b τὸ “δεῦρο” νῦν οὐ τοπικόν, ἀλλ’ ἀντὶ τοῦ “ἐλθέ”. RV

book 92a alpha καὶ τῳκίδιον: τὸ οἰκίδιον. ὑποκοριστικῶς δὲ εἶπε κατασμικρύνων καὶ τὴν φιλοσοφίαν. E

book 92a beta τῳκίδιον R: τὸ οἰκίδιον ὑποκοριστικῶς. RVBarbMatr σμικρύνει δὲ τοῖς ὀνόμασιν αὐτοῖς τὸ εὐτελὲς τῆς φιλοσοφίας εἰς πάντα δεικνύς. VBarbMatr

book 92b ἤγαγε δῆθεν αὐτὸν ἐπὶ τὴν Σωκράτους οἰκίαν. RVE

book 94a ψυχῶν σοφῶν E: ἀνδρῶν φιλοσόφων. REBarb τοῦτο δὲ ἐπ’ ἀμφοτέρων δύναται νοεῖσθαι. ἔστι γὰρ ἀμφίβολον καὶ ἄδηλον, πότερον τὰς ψυχὰς αὐτὰς λέγει σοφάς, ἢ τοὺς ἄνδρας σοφούς, ταῖς δὲ ψυχαῖς ἐκείνων ἔνεστι τὸ φροντιστήριον. ἐὰν μὲν γὰρ “ψυχῶν σοφῶν τοῦτ’ ἐστὶ φροντιστήριον”, ἐνδέχεται αὐτὰς εἶναι τὰς ψυχὰς σοφάς· ἐὰν δὲ “ψυχῶν, σοφῶν”, ἀνδρῶν λέγει. Barb

book 94b σκώπτει διὰ τούτων τὸν περὶ ψυχῆς λόγον Σωκράτους καὶ ἀσαφὲς ἐπίτηδες εἴρηκεν, ἐπεὶ καὶ Σωκράτης ὁριζόμενος περὶ ψυχῆς ἀσαφῶς ἔδοξε λέγειν καί, ὥς τινες νομίζουσιν, ἀπ’ ἐναντίας αὐτῷ, τὴν ἰδίαν ἀσθένειαν κατηγορίαν Σωκράτους ποιούμενοι. ἃ δὲ περὶ ψυχῆς ὡρίσατο, ταῦτα· “ψυχὴ πᾶσα ἀθάνατος. τὸ γὰρ ἀεικίνητον ἀθάνατον, τὸ δ’ ἄλλο κινοῦν ἢ ὑπ’ ἄλλου κινούμενον παῦλαν ἔχει κινήσεως καὶ ζωῆς”. EBarb

book 94c ⟨φροντιστήριον⟩ οἱονεὶ βουλευτήριον. BarbMatr ἢ σύνοδός τις καὶ θᾶκος RVBarbMatr σοφῶν. ⟦θᾶκος δὲ καλεῖται ἀττικῶς ὁ τόπος ἔνθα πολλοὶ συνέρχονται σκεψόμενοι.⟧ φροντισταὶ δὲ ἐκαλοῦντο οἱ περὶ τὸν Σωκράτη διὰ τὸ φροντίζειν περὶ ἀδήλων καὶ διὰ τοῦτο μηδέποτε παύεσθαι φροντίδος. RVBarb

book 95 ἐπειδὴ περὶ τῶν οὐρανίων διαλέγονται οἱ φιλόσοφοι. RMatr

book 96a οὕτως ὁ κρίβανος. κυρίως ὅπου οἱ ἄνθρακες συμπνίγονται· διὸ ἐπιλέγει “ἡμεῖς δ’ ἄνθρακες”. λέγει δὲ τὸν φοῦρνον. R

book 96b ἡ τῶν ἀνθράκων MBarbMatr κάμινος· MNABarbMatr διὸ ἐπιλέγει “ἡμεῖς δ’ ἄνθρακες” διὰ τὸ ὑπὸ τοῦ ἡλίου θερμαίνεσθαι. MBarb

book 96c κυρίως πνιγεὺς ἔνθα οἱ ἄνθρακες ἔχονται VMBarb καὶ πνίγονται. VBarb

book 96d ταῦτα πρότερος Κρατῖνος ἐν Πανόπταις δράματι περὶ Ἵππωνος τοῦ φιλοσόφου κωμῳδῶν αὐτὸν λέγει· ἀφ’ οὗ στοχαζόμενοί τινές φασιν, ὅτι μηδεμιᾶς ἔχθρας χάριν Ἀριστοφάνης ἧκεν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπὶ τὴν τῶν Νεφελῶν ποίησιν, ὅς γε μήτε ἴδιον μήτε ἁρμόττον, ἀλλὰ μηδὲ πρὸς ἓν ἔγκλημα ἦλθε Σωκράτους. δύο γὰρ κατ’ αὐτοῦ ταῦτα προθεὶς ἐγκλήματα, τὸ περὶ τοῦ οὐρανοῦ ὡς ἔστι πνιγεύς, καὶ ὡς ἱκανός ἐστι τὸν ἥττω λόγον διδάσκειν καὶ τὸν κρείττονα, τὸ μὲν κοινὸν τῶν φιλοσόφων ἁπάντων ἐπήγαγεν ἔγκλημα, φαίνεται δὲ καὶ ἐπὶ τούτῳ ὁ Ἵππων κωμῳδηθῆναι φθάσας· τὸ δὲ τῶν ἐγκλημάτων οὐδὲ τὸ σύνολον ἐπικοινωνεῖ φιλοσοφίᾳ—οὐ γὰρ τοῦτο ἐπαγγέλλονται οἱ φιλόσοφοι,

book 96d δεινοὺς ποιήσειν λέγειν—ἴδιον δὲ τὸ τοιοῦτο μᾶλλον 〈τῆσ〉 ῥητορικῆς· 〈ὡσ〉 ἐπ’ ἀμφοτέροις τὸν φιλόσοφον καθαρεύειν. V 〈οἳ δ’, ὅτι ὁλόκληρον εἰς αὐτὸν συνέταξε δρᾶμα, δι’ ἔχθραν νομίζουσιν αὐτὸν πεποιηκέναι οὐκ ὀρθῶς οἴονται. πρῶτον μὲν γὰρ Δίφιλος εἰς Βοίδαν τὸν φιλόσοφον ὁλόκληρον συνέταξε ποίημα, δι’ οὗ οὐκ εἰς δουλείαν ἐρυπαίνετο 〈ὁ〉 φιλόσοφος· οὐ διὰ τοῦτο δὲ ἐχθρὸς ἦν. ἔπειτα Εὔπολις, εἰ καὶ δι’ ὀλίγων ἐμνήσθη Σωκράτους, μᾶλλον ἢ Ἀριστοφάνης ἐν ὅλαις ταῖς Νεφέλαις αὐτοῦ καθήψατο.〉 Ald

book 98 οὗτοι διδάσκουσι R: καὶ τοῦτο ψεῦδος διαβολῆς χάριν· οὐδεὶς γὰρ μισθὸν ἐτέλει Σωκράτει, ἐπεὶ ἐκεῖνος ἔφασκε μηδὲν εἰδέναι. RVBarbMatr διόπερ καὶ ὑπὸ τοῦ Πυθίου σοφὸς ἐκρίθη. τοῦτο γὰρ αὐτὸ πρῶτον ἔκρινε σοφοῦ, τὸ γνωρίσαι μηδὲν εἰδέναι. RVMatr πῶς οὖν ἂν μισθὸν ἐπράττετο παρὰ τῶν συνόντων περὶ αὑτοῦ βεβαιούμενος μηδὲν εἰδέναι; RV

book 100 ἀποφεύγει εἰπεῖν τὸ ὄνομα διὰ τὸ ἐπαχθές. RE

book 101 μεριμνοφροντισταὶ] τοὺς φιλοσόφους οὕτως ἐκάλουν. R

book 102a τὸ “αἰβοῖ” RV σχετλιαστικόν. RVE

book 102b τὸ “πονηροί” ἀντὶ τοῦ “ἐπίπονοι”. RV

book 102c τοὺς R ἀλαζόνας: ἰδίως τοὺς ψεύστας ἐκάλουν. εἰκότως δὲ τοὺς φιλοσόφους ἀλαζόνας καλεῖ, RVBarb ἐπεὶ λέγειν ἐπαγγέλλονται περὶ ὧν οὐκ ἴσασιν. RBarb

book 102d ἀλαζόνας] οὕτως ἐκάλουν τοὺς φιλοσόφους. E

book 104 Χαιρεφῶν M: ἑταῖρος Σωκράτους RMMatr ὁ Χαιρεφῶν, RM ὃς ἐκαλεῖτο καὶ νυκτερὶς διὰ τὸ μέλας εἶναι καὶ ἰσχνόφωνος. RMMatr

book 105a [ἢ ἢ σι]ώπα R: συγκατατίθεται καὶ ὁ πρεσβύτης ὡς εἰδότος αὐτοὺς τοῦ νεανίσκου καὶ ἀληθῆ περὶ αὐτῶν εἰρηκότος. φησὶν οὖν· τούτους αὐτούς. RV

book 105b μηδὲν … νήπιον] μηδὲν εὔηθες μηδὲ ἀνόητον RV εἴπῃς. V

book 105c ἀντὶ τοῦ “μὴ ὡς τὰ νήπια παιδία ἀνόητα εἴπῃς”. V

book 106a ἀλλ’ εἴ τι κήδει RM: ἀλλ’ εἰ M φροντίζεις. RVNM

book 106b τῶν πατρ〈ῴ〉ων M ἀλφίτων RVM: τῶν χρημάτων. RVMbis

book 106c τῶν πατρῴων ἀλφίτων] τῆς πατρῴας οὐσίας. RVMbisAMatr

book 106d ὡς ἄγροικος. R

book 107a τούτων γενοῦ μοι: λείπει τὸ εἷς ἀριθμητικὸν ὄνομα, “εἷς τούτων γενοῦ μοι”, τούτοις μαθήτευσον. R

book 107b σχασάμενος RM: καταλύσας, VBarb καταπαύσας, REMbisBarb ἐάσας. E

book 107c παυσάμενος VMatr τῆς ἱππικῆς RV ἢ ἀποχωρήσας καὶ ἀποστὰς τοῦ παρόντος ἐπιτηδεύματος. V

book 107d alpha ἐκ μεταφορᾶς τῶν κωπηλατούντων. Barb καὶ γὰρ τὸ ὕδωρ τῇ κώπῃ σχίζεται ἐρεσσούσῃ. καὶ Πίνδαρος κώπαν ἤδη μοι σχάσον. M

book 107d beta

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σχασάμενος V: ἀπὸ μεταφορᾶς τῶν ἐρεσσόντων. RV σχάσαι γὰρ δεῖ καὶ ὥσπερ διαστεῖλαι καὶ διασχίσαι τὸ ὕδωρ τὴν κώπην ἐρέσσουσαν. V 〈καὶ Πίνδαρος κώπαν ἤδη ἔσται μοι σχάσαις.〉 Su.

book 107e ἀπὸ μεταφορᾶς τῶν ἀποσχιζομένων καὶ διαχεομένων ὑδάτων. EM

book 108 οὐκ ἂν μὰ τὸν Διόνυσον: εὐλόγως τὸν Διόνυσον ὀμνύει· τούτῳ γὰρ ἐπετελεῖτο τὰ Διονύσια, οἷς ἠγωνίζοντο οἵ τε τῆς τραγῳδίας καὶ οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταί. R

book 109a τοὺς φασιανούς: Φᾶσις ποταμὸς Σκυθίας, ὅπου καλοὶ ἵπποι γίνονται. Λεωγόρα δὲ ὡς ἱπποτρόφου μέμνηται. οἱ δὲ περὶ Ἀρχίλοχον ὀρνίθων τι γένος λέγουσι τοὺς φασιανούς. ἢ φασιανοὶ λέγονται οἱ ἔχοντες τῷ μηρῷ φασιανὸν ἐγκεχαραγμένον ἵπποι. R

book 109b τοὺς φασιανούς M: οὔκ εἰσιν ἵπποι φασιανοί, ἀλεκτρυόνες μέντοι. ἵπποι δέ τινές εἰσιν ἀλεκτρυόνας 〈ἐγ〉 κεχαραγμένοι· τούτους οὖν λέγει. V Λεωγόρας δὲ ὄνομα κύριον ἑνὸς τῶν Ἀθήνησι προπολιτευσαμένων τότε. πατὴρ δὲ οὗτος ἦν Ἀνδοκίδου τοῦ ῥήτορος. ἄδηλον δέ, εἰ καὶ ὄρνεα οὗτος ἔτρεφεν·

book 109b alpha μέμνηται δὲ αὐτοῦ ὡς ἱπποτρόφου. M

book 109b beta ἔστι δὲ ὄνομα τῶν ἱπποτροφησάντων Ἀθήνησιν. V

book 109c 〈ἔνιοι ἀξιοῦσιν ἵππους εἶναι τοὺς φασιανούς. καὶ εἴπερ ἐστὶ τοῦτο μὴ κατεψευσμένον, οἰκεῖον ἂν εἴη τοῦτο τῆς τοῦ νεανίσκου σπουδῆς.〉 Su. IV 702, 22

book 109d 〈ὁ Λεωγόρας τρυφερός τις, ὁ Ἀνδοκίδου πατήρ. Πλάτων Περιαλγεῖ ὦ θεῖε Μώρυχε· τέως γὰρ εὐδαίμων ἔφυς καὶ Γλαυκέτης, ἡ ψῆττα, καὶ Λεωγόρας, οἳ ζῆτε τερπνῶς οὐδὲν ἐνθυμούμενοι. Εὔπολις ἐν Αὐτολύκῳ β′ ὡς 〈...〉 καὶ διὰ Μυρρίναν ἑταίραν τὰ χρήματα ἀποβεβληκότα.〉 Su. IV 702, 24 Ald

book 110a ἴθ’ E: ἐλθέ· VEN νῦν δὲ πείσθητι. VE

book 110b ἴθ’] εἶα. E

book 110c ἀντιβολῶ E: παρακαλῶ VE ἀττικῶς. E

book 112a ἄμφω τὼ λόγω R: δυϊκῶς ἔκλινεν. φησὶ δὲ ἀμφοτέρους τοὺς λόγους τοὺς περὶ Σωκράτην ἐκπαιδεύειν ἱκανῶς. RVMBarb

book 112b αὐτοῖς] Σωκράτει 〈καὶ〉 Χαιρεφῶντι. E

book 113a τὸν κρείττον’ ὅστις ἐστί R: τὸν δίκαιον, RVEBarb τὸν νικῶντα. ὡς ἀγνοῶν δὲ τὰ δίκαια εἶπεν· ἐβούλετο γὰρ ἀδικίαν μανθάνειν. RVBarb

book 113b τὸν ἥττονα] τὸν ἄδικον. VE

book 118 οὐδ’ ἂν] ἀντὶ τοῦ “οὐδένα”. E

book 119 οὐ γὰρ ἂν ὑπομείναιμι ὁραθῆναι ὑπὸ τῶν ἱππέων. V

book 120a τοὺς ἱππέας E: εἰ γενοίμην, VE φησίν, E ὠχρὸς ὡς οἱ περὶ τὸν Σωκράτην RVE καὶ ἀνυπόδητος καὶ ῥυπῶν. E οἱ γὰρ ἱππεῖς εὔχροι VEM καὶ ὑποδεδεμένοι καὶ ἐν γυμνασίοις ἐξεταζόμενοι VE καὶ ἐν παλαίστραις. καὶ ἐν τοῖς Ἱππεῦσί φησι· μὴ φθονεῖθ’ ὑμῖν κομῶσιν μηδ’ ἀπεστλεγγισμένοις, τουτέστι λιπῶσιν. τοῦτο οὖν καὶ νῦν ὁ νεανίσκος δεδοικέναι φησί, τὸ ἀπέχθεσθαι τοῖς περὶ ἱππικὴν ἔχουσιν, εἰ ἀπολιπὼν τὸ σῶμα κοσμεῖν καὶ μετιέναι τὰ τῶν ἱππέων ἐπιτηδεύματα τὰ τῶν φιλοσόφων μετέλθοι. V

book 120b alpha διακεκναισμένον: ἠμαυρωμένον, ὠχρόν, διεφθαρμένον. E

book 120b beta διακεκναισμένος RV: διεφθαρμένος, RNM ἠμαυρωμένος. RV

book 120c ὡς ἱππαζόμενον καὶ τοῦτον μετὰ τῶν ἱππέων φησὶ τάττεσθαι. E

book 121a

μὰ τὴν Δήμητρα: εἰκότως, ἐπεὶ περὶ τροφῶν ὁ λόγος ἐστίν, αὐτὸς τὴν Δήμητρα ὄμνυσι· τούτων γὰρ ἡ θεὸς εὑρετίς. EBarb

book 121b τῶν γ’ ἐμῶν] ἀπὸ τῶν ἐμῶν. E

book 121c ἔδει] φάγει, RVENMA θρέψει. V

book 122a οὔθ’ ὁ ζύγιος EN: ζύγιοι οἱ ὑποβαλλόμενοι τῷ τοῦ ἅρματος ζυγῷ, τουτέστιν RVENMBarb ὁ μέσος δεξιὸς καὶ ὁ μέσος ἀριστερός. RVENM BarbMatr

book 122b οὔθ’ ὁ σαμφόρας N: σαμφόραι οἱ σίγμα ἔχοντες ἐπὶ τὸν μηρόν. RENMBarbMatr

book 123a alpha ⟨ἀλλ’ ἐκβαλῶ σε καὶ διώξω σε τῆς οἰκίας τῆς ἐμῆς.⟩ Ald

book 123a beta ἀλλ’ ἐκβαλῶ σε καὶ ἀποδιώξω ἐκ τῆς ἐμῆς οἰκίας. V

book 123b alpha τραχύτερον διαλέγεται τὴν ἐλπίδα τοῦ πείσειν ἀπολωλεκώς. E

book 123b beta τραχύτερον αὐτῷ διαλέγεται καὶ ἀπηνέστερον, ὅτι τὴν ἐλπίδα τοῦ πείθειν αὐτὸν ἀπώλεσεν. V

book 124a οὐ περιόψεταί] οὐ μέλλει καταφρονῆσαι. E

book 124b οὐ περιόψεταί: εἰκὸς γὰρ ἦν καὶ τοῦτον σεμνυνόμενον ἐπὶ ταῖς τρισὶ νίκαις τοῦ πατρὸς ἥδεσθαι τὸν νεανίσκον ὁρῶντα μετερχόμενον τὰ προγονικὰ ἐπιτηδεύματα. E

book 125a ἄνιππον] ἵππων ἐστερημένον. RM

book 125b εἴσειμι] εἰς τὴν οἰκίαν. E

book 125c σοῦ] τῶν σῶν ἀπειλῶν. R

book 126a ἀλλ’ οὐδ’ ἐγὼ μέντοι ἀθυμήσω, διότι οὐ πέπεικα τὸν υἱόν, MBarb οὐδὲ τέλεον ἀφέξομαι τῆς γνώμης. M

book 126b ἀλλ’ οὐδ’ ἐγὼ μέντοι παραδώσω ἐμαυτὸν ταῖς λύπαις. V

book 127 διδάξομαι M: νῦν μὲν παθητικῶς ἀποδεκτέον τὸ “διδάξομαι”. βούλεται γὰρ λέγειν “διδαχθήσομαι”. ἔστι δὲ τῶν μέσων· παθητικὸν γὰρ ἔχει τὸν σχηματισμόν, ἐνέργειαν δὲ δηλοῖ. εἴποι γὰρ ἂν “διδάξομαι τὸν υἱὸν φιλοσοφεῖν” κυριώτερον ἢ “διδάξω”. “διδάξω” μὲν γὰρ ὁ διδάσκαλος ἐρεῖ, “διδάξομαι” δὲ ὁ πατὴρ καὶ πᾶς παραδιδοὺς ἕτερον μανθάνειν. VM δυνατὸν οὖν καὶ νῦν μὲν εἶναι τὸ αὐτό, ἵν’ ᾖ νοούμενον “διδάξομαι, ἐπεὶ οὐ τὸν υἱόν, ἐμαυτόν”, τοῦ δὲ μέτρου οὐκ ἐπιτρέποντος εἰπεῖν “ἐμαυτόν” “διδάξομαι” ἔφη “αὐτὸς βαδίζων εἰς τὸ φροντιστήριον”. V

book 129a κἀπιλήσμων] μὴ ἔχων μνήμην. E

book 129b alpha οὐκ ἐπὶ τῆς τοῦ σώματος κινήσεως παρείληφε τὸ “βραδύς”, ἀλλ’ ἐπὶ τῆς διανοίας. Barb

book 129b beta νῦν οὐκ ἐπὶ τῆς σωματικῆς κινήσεως εἴληφε τὸ “βραδύς”, ἀλλὰ τὸ μὴ ἀγχίνουν καὶ νωθὲς τῆς διανοίας δηλοῦν ἐθέλει. V

book 129c βραδὺς] ἀργός. E

book 130a λόγων ἀκριβῶν σκινδαλμοὺς EN: λόγων ENBarb ἰσχνῶν EN- MBarb λεπτολογίας, RVEbisNMABarbMatr λεπτουργίας· M λεπτὰ γὰρ καὶ ἰσχνὰ τὰ τῶν φιλοσόφων ζητήματα. ENMBarb

book 130b σκινδαλμοὺς ENMBarb: ἀντὶ τοῦ “λεπτολογίας”. ENBarb ἡ δὲ μεταφορὰ N ἀπὸ τῆς σχίσεως τῶν καλάμων. ENMBarb ἰδίως γὰρ RVENBarb σκινδαλμοὺς καλοῦμεν τὰ τῶν καλάμων ξύσματα. RVENABarb τοῦτο δὲ ἐπὶ μὲν τῆς εὐθείας ὀξυτονεῖται, ἐπὶ δὲ τῶν πλαγίων παροξύνεται. RVN

book 130c σκινδάλμους μαθήσομαι R: ἐξήγησις καὶ ἐπεξεργασία τοῦ “ἀκριβῶν” οἱ σκινδάλαμοι. RVBarb

book 131a ἰτητέον] πορευτέον. RVE

book 131b ἔχων] διαλογιζόμενος. E

book 131c στραγγεύομαι] ἀναβάλλομαι, VENMAMatr διατρίβω. RENMA 〈ἅπαξ οὖν, φησί, δόξαν τί παρέλκω καὶ μέλλω καὶ διατρίβω〉 καὶ ἀναδύομαι; R

book 131d στραγγεύομαι] κακοπαθῶ. EMMatr

book 132a ἀλλ’ οὐχὶ R κρούω. RE

book 132b τοῦτο δὲ παρεγκύκλημα· δεῖ γὰρ αὐτὸν ἐλθεῖν καὶ κόψαι τὴν θύραν τοῦ Σωκράτους. παρατηρητέον δέ, ὅτι ἐπὶ μὲν τῶν ἔξωθεν κρουόντων κόπτειν λέγεται, ἐπὶ δὲ τῶν ἔσωθεν ψοφεῖν. V 〈ἱκανῶς δὲ διέστειλε Μένανδρος ἐπὶ μὲν τῶν ἔξω “κόψω τὴν θύραν” εἰπών, ἐπὶ δὲ τῶν ἔσω “ἐψόφηκε τὴν θύραν ἐξιών”.〉 Ald

book 133 βάλλ’ RENAMatr ἐς κόρακας RENMAMatr: ἄπιθι RENM ἐς κόρακας. EN ἔστι δὲ παροιμία ἐπὶ κατάρας λεγομένη. ENMA ἀντὶ τοῦ “εἰς ἀπώλειαν καὶ φθοράν”. RVENMbis Βοιωτοῖς γὰρ ἀναστάτοις ὑπὸ Θρᾳκῶν γενομένοις καὶ ὑπὲρ ἀποικίας μαντευομένοις εἶπεν ὁ θεὸς ἐκεῖ κατοικῆσαι, ἔνθα ἂν ἴδωσι λευκοὺς κόρακας. οἱ δ’ ἐν Θετταλίᾳ περὶ τὸν παγασιτικὸν κόλπον εἶδον περιιπταμένους τοὺς RVENMAMatr(M9) τοῦ Ἀπόλλωνος RVM ἱεροὺς κόρακας, οὓς παῖδες ἀφῆκαν γυψώσαντες ὑπὸ μέθης, καὶ τελεῖσθαι τὸν χρησμὸν φήσαντες ἐνταῦθα κατῴκησαν. οἱ δὲ ἀπὸ τοῦ ζῴου φασὶ λέγεσθαι τὴν παροιμίαν· ἐν γὰρ τοῖς ἐρημοτέροις τόποις ἐπιτηρεῖ τὰ πτώματα.

book 133 RVENMAMatr(M9)

book 134alpha Κικυννόθεν ENMBarb: ἀπὸ δήμου τῆς Ἀκαμαντίδος φυλῆς Κίκυννα, ἔνθα ἄγεται καὶ Ἀπολλώνια. ENMBarbMatr

book 134beta δῆμος οἱ Κικυννῆς τῆς Ἀκαμαντίδος φυλῆς, RV ἔνθα ἄγεται καὶ Ἀπολλώνια. R

book 135 ἀμαθής] ἰδιώτης, E ἀπαίδευτος. EM

book 136a ἀπεριμερίμνως RBarb: ἀσκόπως, RVA ἀμαθῶς, RVM ἀμελῶς, Barb ἀπείρως, ἀνεπιστημόνως. RMBarb

book 136b λελάκτικας RV: σφοδρότητος καὶ βίας σημαντικόν· RVM διόπερ καὶ τὴν μέμψιν ἐπήγαγεν. R

book 137a καὶ σκέψιν. REN ἰδίως δὲ νῦν ἐπὶ φιλοσόφων τὴν φροντίδα· ἐπεὶ καὶ μεριμνοφροντιστὰς ἐκάλουν αὐτούς, ὡς προείπομεν. R

book 137b ἡμιτελῆ ἐξέβαλες, V ἐξέωσας. VA ἐξαμβλῶσαι δὲ κυρίως ἐπὶ τῶν γυναικῶν λέγεται τῶν ἀποτικτουσῶν θᾶττον ἢ κατὰ τὸν τῶν ὠδίνων καὶ τῆς κυοφορίας νόμον. καὶ τὸ φάρμακον δὲ τὸ αἴτιον τοῦ ἐξαμβλοῦν τὰς γυναῖκας ἀμβλώθριον καλεῖται. V(Lv)

book 137c ἐξήμβλωκας] ἀτελῆ ἐποίησας. R

book 137d ἐξευρημένην] ἐπινενοημένην. RVENMA

book 138a πρὸς τὸ σχῆμα. ὅτι οὕτω χρῶνται “πόρρω τῆς πόλεως”. ἐπὶ τῶν ἀγρῶν. ὅτι ἀγροῖκός εἰμι. RV

book 138b ἀμφίβολον πότερον λέγει πόρρω τῶν ἀγρῶν ἑαυτὸν κατοικεῖν ἢ ἐν τοῖς μακρὰν καὶ πολὺ τῆς πόλεως ἀπέχουσιν. λέλεκται δὲ αὐτὸ παρὰ τὸ εὐριπίδειον, ὅπερ οὕτως ἔχει τηλοῦ γὰρ οἰκῶν βίοτον ἐξιδρυσάμην. V

book 139 τοὐξημβλωμένον] τὸ RVEN ἀπολωλὸς REM καὶ RM διεφθαρμένον. RVNM

book 140a ἀλλ’ οὐ δυνατόν. δῆλον δέ, ὅτι ἐπὶ διασυρμῷ καὶ διαβολῇ ταῦτα παρεισάγει λέγοντα τὸν θυρωρόν. ἀλλότριον γὰρ φιλοσόφων τὸ βασκαίνειν καὶ φθονεῖν, οἷς τὸ κοινωνεῖν περὶ πολλοῦ πάντων ἀφθόνως. V

book 140b οὐ θέμις] οὐ πρέπον. R

book 140c πλὴν τοῖς μαθηταῖσιν] εἰ μὴ μόνον τοῖς μαθηταῖς. RV

book 141

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὑτοσὶ] ἑαυτὸν δείκνυσιν. R

book 144a ἀνήρετ'] ἐπύθετο. RA

book 144b 〈ἄρτι: ἀντὶ τοῦ "ἐξ ὑπογύου". ἵνα αὐτοσχεδιάζειν δοκῶσι καὶ πάντα ἐξ ὑπογύου λέγειν.〉 Su. I 368, 20 (usque ad ult. δοκῶσι etiam Ald)

book 144c τῶν ἄγαν γνωρίμων Σωκράτους ὁ Χαιρεφῶν. RV οὐδὲν αὐτοῦ διασέσωσται τῶν συγγραμμάτων. δοκεῖ δὲ γενέσθαι παράθερμος καὶ σφόδρα ἐχθρεῦσαι τῷ ἀδελφῷ. καί φησι Ξενοφῶν τὸν Σωκράτην συνάγοντα αὐτοὺς λέγειν, ὡς οὐδὲν ὀφθαλμῶν ὄφελος εἴη, εἰ μὴ συμφρονοῖεν, οὐδὲ χειρῶν οὐδὲ ποδῶν. V δήμου δὲ ἦν ὁ Χαιρεφῶν Σφήττιος. τούτῳ καὶ ἡ Πυθία δοκεῖ τὸν περὶ τοῦ Σωκράτους χρησμὸν εἰπεῖν σοφὸς Σοφοκλῆς, σοφώτερος δ' Εὐριπίδης, ἀνδρῶν δὲ πάντων Σωκράτης σοφώτερος. RV τούτου Ἀπολλώνιος ὁ Μόλων ἐν τῷ κατὰ φιλοσόφων ἐψεῦσθαί φησι τὴν Πυθίαν· τοὺς γὰρ πυθικοὺς χρησμοὺς ἑξαμέτρους εἶναι καὶ 〈ἀ〉εί. ἔστι δὲ παρὰ κωμικῷ τινι συγκεχωρίσθαι τῷ χρησμῷ δύναται. ὅτι δὲ καὶ ἄλλοι διὰ τριμέτρων πλείους εἰσὶ χρησμοί, οὐ μὴν ἀλλὰ καὶ πεζῷ

book 144c λόγῳ λεχθέντες τῇ Πυθίᾳ, δῆλον. V

book 145a τοιαῦτα γὰρ τὰ τῶν φιλοσόφων ζητήματα, ἀπηλλαγμένα τῶν κοινῶν βιωτικῶν ἐννοιῶν, διὰ τὸ περὶ τῶν οὐρανίων καὶ τῶν ἀδήλων ἀεὶ γίνεσθαι τὴν ζήτησιν αὐτοῖς. R

book 145b ψύλλαν ὁπόσους ἅλλοιτο RENBarb τοὺς αὑτῆς πόδας N: ψύλλαν μὲν ἀττικῶς, ὃν ἡμεῖς καλοῦμεν ψύλλον. τὸ δὲ λεγόμενον τοιοῦτον· RVENBarbMatr

book 145b alpha πόσους ἡ ψύλλα πόδας ἰδίους πηδήσειεν. διασύρων δὲ τὰ ζητήματα τῆς φιλοσοφίας φησίν. EN

book 145b beta τὸ πήδημα τῆς ψύλλης διαμετρῆσαι τοῖς αὐτῆς τῆς ψύλλης ποσίν, ὁπόσους τούτους πηδήσειεν. RVENMBarbMatr δῆλον δέ, ὅτι διασῦραι βουλόμενος τὰ τῶν φιλοσόφων ζητήματα ὡς ἰσχνὰ καὶ λόγου μηδαμῶς ἐχόμενα ταῦτα καὶ τὰ τοιαῦτα παρεισάγει. διὸ καὶ τὰ ἑξῆς γελοίου χάριν αὐτῷ λέλεκται. R- BarbMatr

book 145b gamma διαβάλλει τοὺς φιλοσόφους ὡς εὐτελῆ ζητοῦντας· διὸ καὶ τὰ ἑξῆς γελοίου χάριν λέγεται. VM.

book 145c διὰ γελοίων τὴν Σωκράτους παρίστησιν ὠφέλειαν. M

book 146 Χαιρεφῶντος τὴν ὀφρῦν M: ἰστέον, ὅτι αὐτοπροσώπως εἰσῆγον τοὺς κωμῳδουμένους καὶ ὅτι VMBarbMatr γελοίου χάριν παρείληφε τοῦτο. RVMBarbMatr αὐτίκα γοῦν οὐδὲ ἄλλου τινὸς ἐμνήσθη μέρους τοῦ σώματος RVMMatr ἢ τοῦ ἐν ἑκατέρῳ γελοίου. RMMatr ὁ μὲν γὰρ RVMBarbMatr Χαιρεφῶν RMBarbMatr βαθείας εἶχε τὰς ὀφρῦς, ὁ RVMBarbMatr Σωκράτης RMBarbMatr δὲ φαλακρὸς ἦν. RVMBarbMatr

book 150 τὼ πόδε Barb: ὅτι δυικῶς "τὼ πόδε" ἐπὶ τῆς ψύλλης RVBarb- Matr κακῶς· Matr ἱστορεῖται γὰρ ἓξ πόδας ἔχουσα RVBarb ἡ ψύλλα. R

book 151a ψυγείσῃ] ἀποθανούσῃ. RV

book 151b ἔστι μὲν δένδρα, ἔστι δὲ καὶ ὑποδημάτων τι εἶδος γυναικείων. διὸ ἐπιφέρει "ὑπολύσας", διὰ δὲ τὸ δένδρον παίζων τὸ "περιέφυσαν" εἶπεν. R

book 152alpha ταύτας M ὑπολύσας Barb: ἀδύνατον· οὔτε γὰρ ὑποδήματα δύναται φορέσαι ψύλλα οὔτε ὑπολύσασθαι οὔτε διαμετρῆσαι τῷ προσπλασθέντι κηρῷ τοῖς ποσὶ τὸ διάστημα τοῦ πηδήματος. ἄλλως. ἀδύνατον ἀδυνάτῳ ἐπήγαγεν. οὔτε γὰρ τὰ ὑποδήματα ἐκ κηροῦ φῦναι φύσιν ἔχει οὔτε τῶν τῆς ψύλλης ποδῶν ταῦτα δυνατὸν ἦν ἐξελεῖν καὶ διαμετρῆσαι. MBarb

book 152beta ταύτας ὑπολύσας R: ἀδύνατον ἀδυνάτῳ ἐπήγαγεν. οὔτε γὰρ ὑποδήματα φορέσαι δύναται ψύλλα οὔτε ἐκ κηροῦ φῦναι αὐτῇ φύσιν ἔχει, οὔτε τῶν τῆς ψύλλης ποδῶν τὸν κηρὸν ἐξελεῖν δυνατὸν καὶ διαμετρῆσαι τούτῳ τὸ διάστημα τοῦ πηδήματος. RV

book 153 “τῆς λεπτότητος” εἶπεν ἐκ μεταφορᾶς τῶν ἀραχνίων νημάτων. N

book 154 τί δῆτ’ ἄν] εἴποις. E

book 155 φρόντισμα] σόφισμα. RVENA

book 156a Σφήττιος: ἐκ δήμου Σφηττοῦ, ὃς ἦν κάκιστος. πρὸς κατηγορίαν τοῦτο τοῦ Χαιρεφῶντός φησι Σφήττιον αὐτὸν λέξας. καὶ σφήττιον ὄξος ἐκ μεταφορᾶς τῶν δριμέων ἐκείνων ἀνδρῶν. Barb

book 156b ἀπὸ δήμου τῆς Ἀκαμαντίδος φυλῆς. MAMatr

book 157a alpha πῶς διανοεῖται τὰς ἐμπίδας πνεῖν. R

book 157a beta ὁπότερα: ἀντὶ τοῦ Barb “πῶς διανοεῖται καὶ διαλογίζεται περὶ τῶν ἐμπίδων”. VBarb

book 157b ὁπότερα] ἀντὶ τοῦ “ὁποτέρως”. RNMBarbMatr

book 157c τὰς ἐμπίδας] οὓς ἡμεῖς κώνωπας λέγομεν. RV 〈οἱ δὲ εἶδος κώνωπος παραποτάμιον ζώνην ἔχοντος.〉 Ald

book 158 κατὰ τὸ στόμ’ ᾄδειν MBarb: ἀντὶ τοῦ RBarb “διὰ τοῦ στόματος RVNMBarb φθέγγεσθαι καὶ βομβεῖν VBarb ἢ διὰ τοῦ ὀρροπυγίου”. RV- Barb τὰ δὲ τοιαῦτα τῶν ζῴων τροφὴν μὲν λαμβάνει στόματι, φθέγγεται δὲ αὐτῷ οὐκέτι. VMBarb καὶ ἔστιν ἀπό τε τῶν τεττίγων τοῦτο VM καὶ ἀπὸ τῶν ἐγκελάδων ἰδεῖν, οἳ καὶ οὕτω προσηγορεύθησαν, ἐπεὶ ἐν αὑτοῖς τὸν κέλαδον ἔχουσιν. οὗτοι γὰρ καὶ τὰ τοιαῦτα ζῷα πάντα διὰ τοῦ στήθους τὴν φωνὴν προΐεται. εἰ οὖν τούτους λάβοις καὶ σφάξαις, οὔτε ὁ ἐγκέλαδος οὔτε ὁ μουσικὸς τέττιξ ἔτι προήσεται φωνήν· διὸ καὶ τὰ τοιαῦτα ζῷα πάντα καλεῖται ἔντομα, 〈καθὸ〉 κατὰ τὴν ῥάχιν διατέτρηται, ὡς ἔστιν ἰδεῖν ἐπὶ τῶν σφηκῶν καὶ κανθάρων καὶ ἐγκελάδων, καὶ τῶν τεττίγων μάλιστα, δι’ ὧν καὶ φθέγγεσθαι τμημάτων ἀξιοῦσιν αὐτά. V

book 163 κοῖλον τὸν πρωκτὸν τῷ στενῷ ἐντέρῳ προσκείμενον. RVMatr

book 165 σάλπιγξ ὁ πρωκτός RBarb: τοιαύτη γάρ, κατὰ τὸ ἄνω στενὴ καὶ πρὸς τὸ ἄκρον κοίλη, ἡ σάλπιγξ. RVBarbMatr

book 166a τοῦ διεντερεύματος EN: τοῦ ἐρωτήματος VEN τοῦ διὰ τοῦ ἐντέρου. EN

book 166b τοῦ διεντερεύματος RBarb: τοῦ ἐπινοήματος. RVENMBarb

book 166c τῆς λύσεως, ENMBarbMatr τοῦ μαθήματος τοῦ περὶ τοῦ ἐντέρου καὶ τῆς ἐμπίδος. ENBarbMatr

book 166d ἐπειδὴ περὶ τῶν ἐμπίδων ἐντέρων λέγει. EBarb

book 166e ἔπαιξε παρὰ τὸν ὑπό〈γυον〉 τοῦ Σωκράτους λόγον τὸν περὶ τοῦ τῆς ἐμπίδος ἐντέρου. RVEBarb

book 167a ἦ ταχέως γε ἂν οὗτος. R

book 167b σφόδρα γε οὗτος ἢ ἄγαν οὗτος. V

book 167c φεύγων: ἀντὶ τοῦ RV κατηγορούμενος RVENMAMatr τις. A

book 168a δίοιδε] ἀκριβῶς ἐπίσταται. E

book 168b δίοιδε] δι’ ἀκριβείας οἶδε. NM

book 169a γνώμης μεγάλης RV ἐστερήθη. RVMatr

book 169b γνώμην] σκέμμα. RE

book 170a λείπει τὸ Matr ἐμποδισθεὶς ὑπὸ ἀσκαλαβώτου RVMatr ὁ Σωκράτης. RV

book 170b ὑπ’ ἀσκαλαβώτου Barb: ὥσπερ σαῦρά ἐστιν ὁ ἀσκαλαβώτης· λέγεται δὲ καὶ γαλεώτης. EBarb

book 173

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γαλεώτης R: ἑκατέρως λέγεται, καὶ ἀσκαλαβώτης καὶ γαλεώτης. RVENA καὶ ὀροφὴ δὲ ἀρσενικῶς καὶ θηλυκῶς, ὁ ὄροφος καὶ ἡ ὀροφή· οὐ πρὸς τὸν ὄροφον ἀνατενῶ τὰ Περσικά ἐν Λυσιστράτῃ· RVEBarb καὶ ἐν Σφηξὶν ὀροφὴν θέασαι. EBarb

book 175 ἐχθὲς δέ γ' ἡμῖν Barb οὐκ ἦν δεῖπνον RM: λεληθότως σκώπτει τὸν τῶν φιλοσόφων βίον ὡς ἐπίπονον καὶ ταλαίπωρον. διὰ τοῦτο εἰς αὔξησιν καὶ τῷ καιρῷ συνεχρήσατο, εἴ γε μέχρι τῆς ἑσπέρας ἀναμένοντες φαγεῖν οὐδὲ τότε εἶχόν τι παρεσκευασμένον. RVMBarbMatr

book 176a τοῦτο καλεῖται RV ἀπόθεσις τοῦ λόγου. RVMatr

book 176b ἐπαλαμήσατο: ἀντὶ τοῦ V ἐμηχανήσατο RVENMMatr καὶ ἐπενόησεν. RV

book 177a ἰσχνήν. τέφραν τὴν ἐκ τῶν κεκαυμένων ξύλων κόνιν. οὐ ματαίως δὲ τὸ "λεπτὴν" προσέθηκε πρὸς ταύτην, ἀλλὰ διὰ τὸ δεῖξαι τὸ παραπλήσιον τοῖς ἀλφίτοις. MBarb

book 177b λεπτὴν τέφραν RBarb: ἰσχνὴν σποδόν. οὐκ ἀργῶς δὲ τὸ "λεπτὴν" προσέθηκε, πρὸς τὴν ὁμοίωσιν τῶν ἀλφίτων RVBarb καὶ τὰ παραπλήσια. Barb τέφρα δὲ ἡ τῶν κεκαυμένων ξύλων κόνις. RV

book 178a alpha κάμψας ὀβελίσκον Barb: καμπύλον ποιήσας, MbisBarb ὥσπερ ὀγκινοειδῆ· ὀρθοὶ γὰρ οἱ ὀβελίσκοι. MBarb ἐπειδὴ δὲ ἔδεσμα οὐκ ἦν, ὀρθὸν 〈ὄντα〉, φησί, τὸν ὀβελίσκον ἔκαμψεν, ἵνα δι' αὐτοῦ δυνηθῇ κλέψαι τὸ ἱμάτιον. Barb

book 178a beta καμπύλον ποιήσας καὶ ὥσπερ ἀγκιστροειδῆ· ὀρθοὶ γὰρ οἱ ὀβελίσκοι. καὶ Ὅμηρος αὐτὰρ ἐπεί ῥ' ὤπτησάν τε καὶ ἀμφ' ὀβελοῖσιν ἐπῆραν. ἀλλ' ἐπεὶ ἔδεσμα μὲν οὐδὲν ἦν, ὡς ὀβελίσκου δεῖσθαι, πρὸς δὲ τὸ ἐπιλαβέσθαι καὶ ἁρπάσαι τι καὶ κατασχεῖν τοῦτο ἦν χρήσιμον, ὀρθὸν ὄντα, φησί, τὸν ὀβελίσκον ἔκαμψεν, ἵνα δι' αὐτοῦ κλέψαι τὸ ἱμάτιον δυνηθῇ. V

book 178b κάμψας ὀβελίσκον: καμπύλον ποιήσας. διὰ δὲ τοῦ κάμψαι ὀβελίσκον καὶ ἡ κλοπὴ καὶ ἡ ὑφαίρεσις τοῦ ἱματίου ἐγένετο. R

book 178c ἐπειδὴ ὁ ὀβελίσκος ὀρθός ἐστιν, ἔκαμψεν αὐτόν, ἵνα δι' αὐτοῦ κλέψῃ τὸ ἱμάτιον. R

book 178d τὸ "εἶτα" περιττόν. REM

book 178e ἐργαλεῖον ὁ διαβήτης πολλαῖς εὔχρηστον τέχναις τῷ Λ στοιχείῳ παρεοικός. RVMBarbMatr τούτου τὸ ἓν ἐντιθέντες μέρος καὶ τὸ ἕτερον περιάγοντες

book 178e alpha καὶ χαράσσοντες τὸ ὑποκείμενον τὸ ἴσον τηροῦσι διάστημα τοῦ κύκλου ἀπὸ τοῦ κέντρου. BarbMatr

book 178e beta κύκλους γράφουσιν. RV

book 179a ἐκ τῆς τραπέζης: τοῦτο παρ' ὑπόνοιαν εἶπεν. ἀντὶ γὰρ τοῦ εἰπεῖν· κατέγραψέ τι, ᾧ προσέχοντες οὐκ ἐπεινήσαμεν, ἐπήνεγκεν, ὅτι ἀπὸ τῆς παλαίστρας ἔλαβεν ἱμάτιον. R

book 179b τοῦτο παρ' ὑπόνοιαν ἐπήγαγεν. ἔδει γὰρ αὐτὸν εἰπεῖν· μετέβαλεν αὐτὴν εἰς τὰ ἄλφιτα. RV

book 179c alpha διαβάλλει αὐτὸν ὡς περὶ τὰς παλαίστρας τῶν παίδων ἕνεκεν διατρίβοντα. R

book 179c beta ἐκ τῆς παλαίστρας: διαβάλλει τὸν Σωκράτην ὡς εἰς τὰς παλαίστρας τῶν παίδων ἀναστρεφόμενον· καὶ γὰρ ἐπεθύμει τοῦ βλέπειν αὐτούς. M

book 179d ἐκ τῆς παλαίστρας Barb: ἐμφαίνει διὰ τούτου τὸν Σωκράτην ὅτι παίδων ἤρα· ἐν ταῖς παλαίστραις γὰρ τὰ πολλὰ ἐξητάζετο, ἵν' αὐτοὺς ὁρῴη. VBarb

book 179e ὅμοιον τῷ ὑπὸ Εὐπόλιδος ῥηθέντι περὶ Σωκράτους Στησιχόρου πρὸς τὴν λύραν οἰνοχόην ἔκλεψεν. V

book 180 τὸν Θαλῆν RMBarb: οὗτος ἐγένετο τῶν ἑπτὰ σοφῶν εἷς, Μιλήσιος RVMBarb τὸ γένος, RV ὃς πρῶτος τὰ περὶ τὸν οὐρανὸν ἐξεῦρεν. RVMBarb παρατηρητέον δέ, ὡς ἀπ' εὐθείας τῆς Θαλῆς,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὡς Ἑρμῆς. RV διχῶς δὲ τοὔνομα ἐκφωνητέον· βαρυτόνως μὲν Θάλης, RVM ὡς Χρέμης, οὗ ἡ γενικὴ RM Θάλητος, ἔτι δὲ καὶ περισπωμένως Θαλῆς, ὡς Ἑρμῆς. RVM

book 181 ἀνύσας] σπεύσας. ENA

book 183 μαθητιῶ] ἐπιθυμῶ μαθεῖν. REN

book 184a ὦ Ἡράκλεις RBarb: πεποίηκε γὰρ τὸ προσταχθὲν ὁ μαθητὴς καὶ ἀνέῳξε τὰς θύρας. ὁ δὲ εἰσελθὼν καὶ θεασάμενος αὐτοὺς RVBarb ὠχροὺς RV καθημένους ὡς ἀνθρώπων μορφὰς μὴ ἔχοντας μηδὲ ὄψεις τεθαύμακεν. RVBarb

book 184b ὁρᾷ τούτους στραφέντος τοῦ ἐκκυκλήματος. Barb

book 185 ἐοικέναι] ὁμοιοῦσθαι. R

book 186a τοῖς ἐκ Πύλου ληφθεῖσι REBarb: Πύλος χωρίον τῆς Λακωνικῆς, ἔνθα Κλέων στρατηγήσας

book 186a alpha ἔλαβεν αἰχμαλώτους EMBarb- Matr προανύσαντος τὸν πόλεμον Δημοσθένους καὶ Νικίου. EBarbMatr

book 186a beta τοὺς τριακοσίους τούτους αἰχμαλώτους ἀπὸ Σφακτηρίας ἔλαβεν. RV

book 186a εἰκὸς οὖν τούτους καὶ διὰ τὸν τοῦ αἰχμαλωτισμοῦ φόβον καὶ διὰ τὸ πολλαῖς μὲν ἡμέραις πεπολιορκῆσθαι ἐν ἐρήμῳ νήσῳ RVEBarbMatr καὶ ἀφ’ ἧς οὐδὲν τῶν ἐπιτηδείων ἦν λαβεῖν, πολλῷ δὲ καὶ μετὰ τὴν ἅλωσιν συγκεκλεῖσθαι χρόνῳ δεδεμένους ἐν ξύλῳ RVEMatr ὠχρούς τε καὶ ἰσχνοὺς καὶ δυσειδεῖς γεγονέναι. RVEBarbMatr

book 186a abis ἡ Πύλος δὲ τρεῖς εἶχεν ἐπωνυμίας, Κορυφάσιον, Σφακτηρία καὶ Πύλος. E

book 186a bbis ἰστέον δέ, ὅτι τρεῖς ἐπωνυμίας εἶχεν ὁ τόπος, Πύλος, Κορυφάσιον, Σφακτηρία. RV

book 186a gamma ἰστέον δέ, ὅτι ἡ Πύλος τρισὶν ὀνόμασιν ἐκαλεῖτο, Κορυφάσιον, Πύλος καὶ Σφακτηρία. Matr

book 186b διὰ τὴν ὠχρότητα. RV

book 187a εἰσελθὼν γὰρ εὗρε περὶ τὸν Σωκράτην κάτω νεύοντας ἐπὶ συννοίας. R

book 187b ἀτὰρ τί ποτ’: συγκεκυφότες γὰρ ἦσαν εἰς γῆν ἅτε περὶ τῆς ἐμπίδος ποτίζοντες. Barb

book 188 βολβοὺς] τὰ λεγόμενα παρ’ ἡμῖν ὕδνα. ENM

book 190a alpha ⟨ὡς ἀγροῖκός φησιν εἰδέναι τῶν περὶ τὸν Σωκράτην ἀκριβέστερον, ἔνθα οἱ βολβοὶ φύονται.⟩ Ald

book 190a beta ὡς ἄγροικος ταῦτά φησιν, ὅτι ἀκριβέστερον οἶδα τῶν περὶ τὸν Σωκράτην, ποῦ εἰσιν οἱ βολβοί. V

book 190b ἵν’] ὅπου. EN

book 190c μεγάλοι] βολβοί. EN

book 191a οἵδε] ἄλλοι E οὗτοι. EN

book 191b οἱ σφόδρ’ ἐγκεκυφότες EN: τοιαῦτα γὰρ τῶν ἄγαν φροντιζόντων καὶ περὶ τὴν διάνοιαν ἐχόντων τὰ σχήματα. καὶ Ὅμηρος στάσκεν, ὑπαὶ δὲ ἴδεσκε κατὰ χθονὸς ὄμματα πήξας. ENA

book 192a ἐρεβοδιφῶσιν: τὰ ὑπὸ τὸ ἔρεβος διφῶσι, MBarb τὰ ὑπὸ τὴν γῆν ζητοῦσι RVMbisBarb καὶ καταμανθάνουσιν. RV

book 192b ἐρεβοδιφῶσιν] τὸ σκότος N ἀνερευνῶσιν. EN

book 193 ὁ πρωκτὸς MBarb: ἴσως ἐγγύθεν τοῦτο εἴληφεν ἀπὸ τῆς ἐμπίδος. ἐπεὶ κἀκείνην διὰ τοῦ πρωκτοῦ ᾄδειν ἔφη, διὰ τοῦτο καὶ τούτους διὰ τοῦ πρωκτοῦ ἀστρονομεῖν RVMBarb διδάσκεσθαι V λέγει. RVMBarb ἀνάγκη γὰρ συγκεκυφότων αὐτῶν VMBarb καὶ εἰς γῆν ὁρώντων VBarb ἄνω τὸν πρωκτὸν βλέπειν. VMBarb

book 195a

ἀλλ’ εἴσιθ’: κατὰ τὸ σιωπώμενον ἄλλων ἐξεληλυθότων ἐκ τοῦ φροντιστηρίου Barb τοῖς φιλοσόφοις φησίν· ὅτι εἴσιτε 〈ἀντὶ τοῦ〉 εἰσέλθετε, ἵνα μὴ ὁ Σωκράτης εὕρῃ ἡμᾶς ἐνταῦθα ἐνδιατρίβοντας. RBarb

book 195b τὸ ἐκεῖνος καὶ τὸ αὐτός ἀντὶ ὀνόματος παραλαμβάνουσιν. καὶ Ὅμηρος παρεισάγει τὴν Θέτιν λέγουσαν τίπτε με κεῖνος ἄνωγε μέγας θεός. V 〈καὶ παρὰ Πυθαγορείοις τὸ “αὐτὸς ἔφα”,〉 Su. Ald 〈τουτέστιν ὁ Πυθαγόρας· καὶ ἐν τοῖς ἑξῆς “αὐτός”, ἤγουν ὁ Σωκράτης.〉 Ald

book 196 ἐπιμεινάντων] ἐπιμεινάτωσαν· EAMMatr ἀττικῶς. M

book 198 οἷόν τ’] ἀντὶ τοῦ “ἐνδεδομένον ἐστί”. E

book 200a πρὸς τῶν θεῶν τί EN γὰρ τάδ’ ἐστίν N: ἰδὼν πίνακα καὶ σφαῖραν ἐρωτᾷ ὁ πρεσβύτης, τί ἐστι ENMatr ταῦτα. EN

book 200b τάδ’ ἐστίν, εἰπέ μοι: εἰσελθὼν ὁρᾷ τὰ τῶν φιλοσόφων σκεύη, ἄβακα ἢ σφαῖραν ἢ ζωγραφίαν, καὶ ἐρωτᾷ. M

book 201a ἀστρονομία M: σφαῖραν δείκνυσιν. REMA

book 201b ἀστρονομία μὲν Barb: διαγράμματά τινα καὶ πίνακας δείκνυσιν ἀστρονομικῆς VMBarb καὶ γεωμετρικῆς. VBarb

book 202 γεωμετρία] ἀβάκιον ἢ τοιοῦτό τι. E

book 203 πότερα τὴν κληρουχικήν MBarb: ὡς ἄγροικος ταῦτά φησιν. VMBarb τὴν ἰδιωτικήν, MBarb τὴν ὑπὸ κλήρου δεδομένην, MbisBarb τὴν τελοῦσαν. MBarb ἐπειδὴ οἱ Ἀθηναῖοι λαμβάνοντες πόλιν πολεμίαν καὶ τοὺς ἐνοικοῦντας ἐκβάλλοντες

book 203a κλήρῳ τὴν γῆν αὐτῶν διένεμον. MBarb

book 203b πολίτας ἑαυτῶν ἀποστέλλοντες τὴν γῆν αὐτοῖς διένεμον. V

book 205 δημωφελές. οἷον “τὸ γὰρ σόφισμα ἤτοι μάθημα συμφέρον τῷ δήμῳ.” V

book 206 αὕτη δέ σοι] χωρογραφίαν δείκνυσιν EBarb αὐτῷ. Barb

book 207 〈τινὲς ἔνθεν ἕως τοῦ “οἱ ’μοὶ δημόται” τοῦ γέροντός φασιν, ἔνιοι δὲ διαιροῦσιν. καὶ κατ’ ἐρώτησιν δὲ εἶναι τὸ τοῦ φιλοσόφου καὶ ἐν ἀποφάσει δύναται.〉 Ald

book 209 ὡς τοῦτ’ ἀληθῶς R: ἐν ἐρωτήσει· “ὡς τοῦτό σοι δοκεῖ ἀττικὸν χωρίον, ἐν ᾧ καθήμενοι δικάζουσιν;” RV

book 212a παρατέταται: διὰ τὸ σχῆμα, λέγω δὴ τὸ ἐπίμηκες, 〈τῆς θέσεως, διὸ καὶ Μάκρις ἐκλήθη·〉 ἐπιμήκης γὰρ ἦν. M

book 212b διὰ γὰρ τὸ σχῆμα, λέγω δὴ τὸ ἐπίμηκες, τῆς θέσεως Μάκρις ἐκαλεῖτο. R

book 213a ἐπολιόρκησαν αὐτὴν Ἀθηναῖοι μετὰ Περικλέους, καὶ μάλιστα Χαλκιδέας καὶ Ἐρετριέας. V

book 213b πρὸς τὸν χρόνον ἀπήντησε καὶ τὸ μῆκος τοῦ πολέμου τὸ σχῆμα τῆς θέσεως δεικνύντος αὐτῷ τοῦ φιλοσόφου. V

book 213c πρὸς τὸ “παρατέταται”, ἐν ᾧ ἡ θέσις δηλοῦται, καὶ αὐτὸς 〈ἐπήνεγκε τὸ “παρετάθη”〉. V

book 213d παρετάθη V: ἴσον τῷ ἐξετρυχώθη καὶ ἐξεπονήθη. VM

book 213e ὑπὸ γὰρ ἡμῶν ἐτάθη M: εἰς φόρον· ἐξετάθη πλείονα φόρον παρέχουσα. δηλοῖ δὲ καὶ τὸ ἡπλῶσθαι. RM ἐκληρούχησαν δὲ αὐτὴν Ἀθηναῖοι κρατήσαντες αὐτῆς. R

book 213f Περικλέους στρατηγοῦντος V καταστρέψασθαι αὐτὴν πᾶσάν φησι Φιλόχορος· καὶ τὴν μὲν ἄλλην ἐπὶ ὁμολογίας κατασταθῆναι, VBarb Ἑστιαιέων δὲ ἀποικισθέντων αὐτοὺς τὴν χώραν ἔχειν. V

book 213g παρετάθη] ἐδυναστεύθη. E

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 215a alpha ⟨ἐγγὺς ἡμῶν: διὰ τοῦτό φησι, διὰ τὸ ἐν χωρογραφίᾳ σύνεγγυς παρεῖναι· ἐπεὶ οὐκ εἰσὶν οὗτοι ἀστυγείτονες.⟩ Ald

book 215a beta διὰ τὸ ἐν ταῖς χωρογραφίαις σύνεγγυς πάντα εἶναι· ἐπεὶ οὐκ ἄν τις εἴποι αὐτὰς ἀστυγείτονας. R

book 215b τοῦτο λέγει, ὅτι RV προσέκειντο Ἀθηναίοις. RVM

book 215c βουλεύσασθε, φησί, τὴν Λακεδαίμονα πόρρω ἡμῶν ἀγαγ[εῖν]· πολέμιοι γὰρ ἡμῶν εἰσιν. τοῦτο δὲ λέγει τὴν γεωμ[ετρίαν] διασύρων. Matr

book 215d ⟨γράφεται⟩ μέγα R ⟨ἀντὶ τοῦ⟩ μεγάλως. M

book 215e φροντίζετε] βουλεύεσθε. R

book 215f φροντίζετε] μεριμνᾶτε. E

book 218a φέρε τίς γὰρ RBarb οὗτος Barb: ἀττικὴ ἡ σύνταξις, κατὰ δὲ τὴν διάνοιαν ⟨ἧς προτάσσεται⟩ σημαίνει πλείονα. V νῦν μὲν οὖν τὸ ἄγε δηλοῖ, ἐν ἄλλοις δὲ σημαίνει ἄλλο τι, VBarb ὡς παρὰ Δημοσθένει "φέρε εἰ δίκας ⟨ὑμᾶσ⟩ ἀπαιτήσειαν οἱ Ἕλληνες ὧν νῦν παρείκατε καιρῶν". ἐνταῦθα γὰρ βούλεται λέγειν "οὕτω δὲ ὑποθώμεθα". V

book 218b ἐπὶ τῆς κρεμάθρας V: παρεγκύκλημα. δεῖ γὰρ κρεμᾶσθαι τὸν Σωκράτην ἐπὶ κρεμάθρας καθήμενον, καὶ τοῦτον εἰσελθόντα καὶ θεασάμενον αὐτὸν οὕτω πυθέσθαι. RV κρεμάθρα δὲ λέγεται

book 218b alpha διὰ τὸ μετέωρον εἶναι αὐτὸν κρεμάμενον. νῦν μέντοι εἰς ἣν τὰ περιττεύοντα ὄψα Barb

book 218b beta διὰ τὸ οὕτως αὐτὴν RV ἀεὶ R μετέωρον εἶναι κρεμαμένην. νῦν μέντοι τὰ περιττεύοντα ὄψα εἰς αὐτὴν RV

book 218b εἰώθαμεν ἀποτίθεσθαι. RVBarb γελοίου δὲ χάριν ἐν τῷ τοιούτῳ παρήγαγεν αὐτὸν σχήματι. RV

book 219 αὐτός MBarb: τιμῶν τὸν διδάσκαλον οὐκ εἶπε πρῶτον τὸ ὄνομα. RVMBarb

book 220a ἴθ' οὗτος M: τῷ μαθητῇ λέγει ὁ Στρεψιάδης. οἷον οὐκ ἤκουσέ μου· σὺ αὐτὸς ἀναβόησον RVM μέγα. R

book 220b ἀντὶ τοῦ μεγάλως. V

book 222 ἀττικὴ ἡ φράσις. V

book 223a ὦ Σωκρατίδιον M: ἀπὸ τοῦ ὑποκοριστικοῦ διαβάλλει τοῦτον. RVMbis

book 223b ὦ 'φήμερε RMMatr: ἀντὶ τοῦ "ὦ θνητέ, RVMMatr ὦ ἄνθρωπε, VM ὦ τὰ ἐφήμερα φρονῶν". RVM

book 223c alpha ἐφήμερον αὐτὸν καλεῖ ὡς αὐτὸς λοιπὸν τὰ τῶν θεῶν φρονῶν καὶ ὑπερηφανῶν τὰ τῶν ἀνθρώπων. RVM ἄλλως τε δὲ καὶ ἀλαζονευόμενον αὐτὸν παρεισάγει. M

book 223c beta 'φήμερε Barb: ὡς ὑπερηφανοῦντος λοιπὸν τοῦ Σωκράτους τὰ ἀνθρώπινα καὶ ἐν θεοῖς ὄντος αὐτοῦ, διότι μετεωρολέσχης ἦν, οὕτως ἐφήμερον ἐποίησεν αὐτὸν καλοῦντα τὸν γέροντα. VBarb

book 223d ἐλέγετο ὁ Σωκράτης ⟨τὴν ὄψιν⟩ Σειληνῷ παρεμφέρειν· σιμός τε γὰρ καὶ φαλακρὸς ἦν. περιέθηκεν οὖν αὐτῷ ⟨οἷον⟩ τοῦ παρὰ Πινδάρῳ Σειληνοῦ φωνήν. ὁ γάρ τοι Πίνδαρος διαλεγόμενον παράγων τὸν Σειληνὸν τῷ 'Ολύμπῳ τοιούτους αὐτῷ περιέθηκε λόγους "ὦ τάλας ἐφήμερε, νήπιε βάζεις". V

book 225a ἀεροβατῶ REMBarbMatr: ἐπιβαίνω τῷ ἀέρι. RVENMBarb- Matr διὰ τοῦτο γὰρ καὶ μετέωρον αὐτὸν ἐποίησε καθήμενον. RVEBarbMatr

book 225b

περιφρονῶ RE: ἀντὶ τοῦ REBarb “διανοοῦμαι καὶ R περιεργάζομαι τὸν ἥλιον καὶ τὸν τούτου δρόμον”. REMBarbMatr ἔγκειται δὲ ἅμα καὶ τὸ τοῖς πολλοῖς ἀσεβὲς διὰ τῆς λέξεως· EMatr ἴσον γὰρ τῷ καταφρονῶ. Matr

book 226a ἔπειτ’ ἀπὸ ταρροῦ: ταρρὸς μετέωρόν τι ἰκρίον, ἐφ’ οὗ αἱ ἀλεκτρυονίδες κοιμῶνται. τοιαύτην δή τινα ὑποληπτέον τὴν κρεμάστραν ἐσκευάσθαι. R

book 226a alpha ἔφη δὲ “ὑπερφρ[ονεῖς]” ἀντὶ τοῦ “περισκοπ[εῖς] καὶ περινο[εῖς]”, ἵνα διαβάλ[ῃ] αὐτὸν ὑπερφρον[οῦν]τα τῶν θεῶν. Barb

book 226a beta ἀντὶ δὲ τοῦ εἰπεῖν “περινοεῖς” “ὑπερφρονεῖς” εἶπεν, ἵνα διαβάλῃ τὸν Σωκράτην ὡς ὑπερφρονοῦντα τῶν θεῶν. R

book 226b alpha ἀπὸ ταρροῦ: 〈παρὰ〉 Ἀττικοῖς τὰ ἐξ οἰσύας πλέγματα οὕτω καλεῖται. τοὺς γοῦν καλάθους τοὺς γεωργικοὺς ταλάρους καλοῦσιν. νῦν δὲ τὴν κρεμάθραν οὕτως ἐκάλεσεν, ENMABarb ἐφ’ ἧς ὁ Σωκράτης ἐκρέματο. ENMA

book 226b beta ἀττικόν· τὰ ἐκ σχοινίων πλέγματα. ταλάρια τοὺς καλάθους καλοῦσιν. V

book 226c ὑπερ(φρονεῖς)] κατα–. E

book 227a alpha 227] ἄνθρωπον ὄντα οὐκ ἦν δυνατὸν αὐτὸν ἀπὸ γῆς γνῶναι τὰ θεῖα. Matr

book 227a beta ἀλλ’ οὐκ ἀπὸ τῆς γῆς, εἴπερ: ἄνθρωπον ὄντα διαγνῶναι τὸν ἥλιον καὶ τοὺς θεούς. V

book 227b εἴπερ] ἔμελλες καταφρονεῖν τοὺς θεούς. E

book 228a ἐξεῦρον ἀκριβῶς RV τὰ ὑψηλὰ RVNMatr καὶ οὐράνια RVN πράγματα· RV περὶ τούτων γὰρ τοῖς φιλοσόφοις τὰ ζητήματα. RMatr

book 228b ἐξεῦρον] ἠδυνήθην εὑρεῖν. E

book 228c ὀρθῶς] ἀληθῶς. E

book 228d τὰ μετέωρα] τὰ εἰς ὕψος ὄντα. E

book 229 cf. 733αα.

book 231a ἐπὶ τῆς γῆς RVM βεβηκώς. ἀπολογεῖται πρὸς τὴν ἐρώτησιν τοῦ γέροντος ὁ Σωκράτης. VM

book 231b τἄνω] τὰ οὐράνια. R

book 232a alpha ψυχρὰν αἰτίαν προβάλλεται πρὸς τὴν ἀπόκρισιν. M

book 232a beta ψυχρὰ ἡ αἰτία, ἣν ὁ Σωκράτης λέγει. RV

book 232a gamma ψυχρὰν καὶ ματαίαν αὐτὸν ἐποίησε παρεχόμενον τὴν λύσιν. V

book 232b εὗρον] ἐδυνήθην εὑρεῖν. E

book 232c τὸ “οὐ γὰρ ἀλλ’” R ἀντὶ τοῦ “καὶ γάρ” ἀττικῶς. RV 〈ὡς Καλλίμαχος ἀκούσαθ’ Ἱππώνακτος· οὐ γὰρ ἀλλ’ ἥκω ἀντὶ τοῦ “καὶ γὰρ ἥκω”.〉 Su. Ald

book 232d οὐ γὰρ] ἀντὶ τοῦ “οὐκ ἔστι δυνατὸν εὑρεῖν”. E

book 232e ἀλλ’] γάρ. E

book 233a τὴν ἰκμάδα REMBarb τῆς φροντίδος Barb: τουτέστι τὸ νοητικὸν καὶ γονιμώτατον τῆς ψυχῆς. RVEMABarb φασὶ γὰρ οἱ φιλόσοφοι κατὰ περικράτησιν τῶν ἀέρων τὸ ὀξύτερον ἢ ἀριστερὸν ἐπιβάλλειν τοῖς θείοις. RVE

book 233b διαπαίζει τὰ τῶν φιλοσόφων. φασὶ γάρ, ὡς ὄντως ἐπισπᾶται εἰς ἑαυτὴν τὰς ὑποκειμένας οὐσίας ἡ γῆ. EM

book 234a πάσχει δὲ τοῦτο καὶ E τὰ κάρδαμα: εἶδος βοτάνης RENMA- Barb παρὰ Πέρσαις. RBarb νῦν δὲ τὴν σκάφον λέγει. Barb ταῦτα δὲ τῶν περὶ αὐτὰ φυομένων λαχάνων τὴν δύναμιν ἐπισπᾶται

καὶ πᾶν τὸ ἐν ἐκείνοις ὑγρὸν ἐπισπώμενα RVENMABarb αἴτιον τοῦ ξηραίνεσθαι καθίσταται. RV- ENMBarb

book 234b πάσχει] ἐνεργεῖ. E

book 234c ταὐτὸ] ὅμοιον. E

book 236 ἡ φροντὶς EMBarb ἕλκει EBarb: δέον εἰπεῖν “ἡ γῆ ἕλκει τὰ κάρδαμα” ὁ δὲ ὡς ἰδιώτης RVEMBarb μὴ νοήσας τὸ εἰρημένον RV συνέχεε τὴν φράσιν, RVEMBarb ὅθεν RV καὶ ἀσαφὲς ἐποίησε τὸ δηλούμενον. RVEM

book 238 ἐκδιδάξῃς ὧνπερ] ἐκεῖνα τὰ πράγματα. E

book 239a οὐκ ὀκνεῖ τοῦ αὐτοῦ μνημονεύειν Ἀριστοφάνης. καὶ γὰρ τούτου ἡ ἀρχὴ τοῦ ἔπους φθάσαντι αὐτῷ εἴρηται ἐν Εἰρήνῃ τῷ δράματι οὕτως ἦλθες δὲ κατὰ τί; τὰ κρέα ταυτί σοι φέρω. V

book 239b κατὰ τί] διὰ τί. E

book 239c λέγειν] διαλέγεσθαι. E

book 240a ὑπὸ γὰρ τόκων] διὰ τοὺς τόκους. E

book 240b χρήστων REBarb τε δυσκολωτάτων R: ὅτι χρήστας Ἀριστοφάνης τοὺς δανειστὰς λέγει. ἡ μὲν γὰρ συνήθεια τοὺς χρεωφειλέτας καλεῖ χρήστας. RVEBarb Ἀθηναῖοι δὲ τοὺς μὲν δανειστὰς χρήστας λέγουσι, RVE τοὺς δὲ ὀφειλέτας χρεωφειλέτας VE καὶ χρεώστας. E 〈Φωκυλίδης δὲ κατὰ τὴν συνήθειαν τοὺς χρεωφειλέτας χρήστας καλεῖ λέγων χρήστας κακοὺς ἔμμεναι ἀνδρὸς φεύγειν μή γε ἀνιήσειε διδούς, παρὰ καιρὸν ἀπαιτέων.〉 Su.

book 240c χρήστων] δανειστῶν. VEN

book 240d δυσκολωτάτων] κακῶν. V

book 241 ἐνεχυράζομαι] εἰς ἐνέχυ〈ρα ἀφαιροῦμαι〉. R ἐνέχυρα E ἀπαιτοῦμαι. EN

book 242a ἐκ ποίας αἰτίας ἔλαθες σαυτὸν πολλοῖς ὑποπεσὼν δανείοις; R

book 242b alpha πόθεν δ’ ὑπόχρεως: ὡς ἐπὶ νοσήματός τινος οὕτως εἰσήγαγε τὸν λόγον. εἰώθαμεν γὰρ ἐν τῇ συνηθείᾳ πρὸς τοὺς κάμνοντας λέγειν· πόθεν συνέβη γενέσθαι τὴν νόσον; διὸ κἀκεῖνος ἑξῆς λέγει “νόσος μ’ ἐπέτριψεν”. Barb

book 242b beta ὡς ἐπὶ νοσήματός τινος οὕτω προήγαγε τὸν λόγον. εἰώθαμεν γὰρ ἐν τῇ συνηθείᾳ πυνθανόμενοι τῶν καμνόντων λέγειν· πόθεν συνέβη γενέσθαι τὴν νόσον; διὸ κἀκεῖνός φησι “νόσος μ’ ἔτριψεν ἱππική, δεινὴ φαγεῖν. V

book 242c ἔλαθες] ἐπελάθου. E

book 243a ἐπέτριψεν] ἐπέθετο. E

book 243b πολυδάπανος οὖσα, καταναλῶσαι δεινή. R

book 246a πράττῃ μ’ ὀμοῦμαι M: ἀπαιτεῖς. EMbisMatr τὸ δὲ “ὀμοῦμαι” εἶπεν, ἵνα διαβάλλῃ τὸν Σωκράτην ὡς ἄθεον. M

book 246b ὀμοῦμαι] ὑπισχνοῦμαι. E

book 246c καταθήσειν] ἀποδώσειν. E

book 247a ποίους θεοὺς RMatr: ταῦτα ἴσως αἰνίττεσθαι δύναται πρὸς τὴν διαβολὴν τοῦ Σωκράτους, ἥν τινες διέβαλλον αὐτὸν ὡς ἠσέβει λέγοντες περὶ τὸ θεῖον ὀμνὺς “νὴ τὸν ἀλεκτρυόνα RVMatr καὶ τὴν πλάτανον” RMatr καὶ ἄλλα τοιαῦτα, ὡς ἐν τοῖς Ἀπομνημονεύμασι Ξενοφῶν ἱστορεῖ VMatr λέγων οὕτως· “πολλάκις ἐθαύμασα, τίσι ποτὲ λόγοις ἔπεισαν Ἀθηναίους οἱ γράψαντες 〈Σωκράτη〉, ὡς ἄξιος εἴη θανάτου 〈τῇ πόλει〉”. εἶθ’ ὑποβὰς ὀλίγον “ἀδικεῖ γάρ” φησί “Σωκράτης τοὺς νέους διαφθείρων καὶ ξένα δαιμόνια εἰσάγων”. ἤτοι οὖν ὡς τέλεον

ἀναιροῦντος αὐτοῦ θεοὺς τὸν λόγον ἐκδεκτέον, ἢ ὡς πολυπραγμονοῦντος, ποῖον ὀμόσει γένος θεῶν. γεγονέναι.

book 247a πρῶτον μὲν τοὺς κατὰ Ὀφίωνα καὶ Εὐρυνόμην· δεύτερον 〈δὲ〉 τοὺς κατὰ Κρόνον καὶ Ῥέαν 〈, οὕστινας Ὅμηρος οὐρανίωνασ〉 · τρίτον 〈δὲ〉 τοὺς ἅμα τῷ Διὶ τὴν ἀρχὴν καταλύσαντας 〈ἐκείνων〉 , οὓς Ὀλυμπίους καλοῦμεν. Matr

book 247b alpha 〈τοῦτό φησιν, ἐπεὶ ἐκεῖνος—ὁ γέρων—ἀσυναρτήτως εἶπεν ὡς νομίσματα αὐτῷ καταθήσειν τοὺς θεούς. ἄλλως. ἐπιφέρει τὸ “ποίους ὀμεῖ σὺ θεούς;” οὐχ ὡς ἄλλοις αὐτὸς χρώμενος θεοῖς, ἀλλ’ ὅτι ὤμοσεν ὡς νόμισμα καταθήσειν τοὺς θεούς.〉 Ald

book 247b beta ἐπεὶ ὁ γέρων εἶπεν ἀσυναρτήτως· ὅτι “μισθόν σοι ὀμνύω [κατα]θήσειν τοὺς θεούς”, ἅμα ἐπιφέρει τὸ “ποίους ὀμεῖ σὺ θεούς;”, οὐχ ὡς ἄλλοις αὐτὸς χρώμενος θεοῖς. R

book 247c 〈ὀμῇ σύ: ὀμοῦμαι.〉 Su. III 524, 3

book 248a ἀντὶ τοῦ “νόμιμον”. V

book 248b νόμισμ’] νόμισις. E

book 248c τῷ] τίνι. R

book 248d τῷ γὰρ ὄμνυτε (sic)] ἐν τίνι πράγματι ποιεῖτε τὸν ὅρκον ὑμῶν; E

book 249a ἢ σιδαρέοισιν R: τοῦ νομίσματος σημαίνοντος δύο, ποτὲ μὲν νόμιμον ἔθος, ποτὲ δὲ τὸ κόμμα τοῦ τετυπωμένου χαλκοῦ, ὁ Στρεψιάδης ἐξεδέξατο οὐ πρὸς τὸ ὑπὸ τοῦ Σωκράτους ῥηθέν, ἀλλ’ ἔμιξεν ἀμφότερα. RV ἔδει γὰρ εἰπεῖν “τίσιν ὀμνύετε θεοῖς” ἢ “τίνι χρῆσθε νομίσματι”. R

book 249b alpha ἢ σιδαρέοισιν M: ἐδόκει τὸ τῶν Βυζαντίων νόμισμα ἐλάχιστον εἶναι πάντων καὶ φαυλότατον ἅτε σιδηροῦν ὑπάρχον. MBarb- Matr

book 249b beta ἐδόκει γὰρ φαυλότατον εἶναι τὸ νόμισμα τῶν Βυζαντίων ἅτε δὴ σιδηροῦν ὑπάρχον. RV

book 249c καὶ Πλάτων Πεισάνδρῳ ἀττικῶς χαλεπῶς ἂν οἰκήσαιμεν ἐν Βυζαντίῳ, ὅπου σιδαρέοισι νομίσμασι. Matr

book 249d ἐκεῖ γὰρ μέταλλον ἦν, ἐν ᾧ ὤμνυον. MBarbMatr

book 249e σιδαρέοισιν] ποιεῖτε τὰς πολιτείας ὑμῶν. E

book 250 οὐχ ὡς θεοὺς ἡγούμενος τοὺς παρὰ τοῖς ἄλλοις νομιζομένους “τὰ θεῖα” λέγει νῦν, ἀλλ’ οἷον τὰ ἀξιοθέατα καὶ ὄντως μεγάλα καὶ τίμια. V

book 251a τίνα ἐστὶν ἀκριβῶς καὶ ἀληθῶς. V

book 251b νὴ Δί’] λείπει τὸ θέλω. VE

book 251c εἴπερ ὄντως ἐστὶν ἐν θεοῖς. V

book 252a συγγενέσθαι] συνελθεῖν. V

book 252b ὡς εἰ ἔλεγε “τοῖς καπνοῖς” RMBarb συγγενέσθαι ἢ R “ταῖς σκιαῖς”. τὰ γὰρ μηδενὸς ἄξια καπνοὺς καὶ σκιὰς καὶ νεφέλας ὠνόμαζον, RMBarb ὡς Εὔπολις ἐν Αὐτολύκῳ καπνοὺς ἀποφαίνει καὶ σκιάς. Barb

book 253 ταῖς ἡμετέραισι δαίμοσιν MBarb: ταῖς ἡμῶν θεαῖς. VBarb ἁρμοζόντως δὲ τῶν φιλοσόφων ἐπιγράφει ταύτας εἶναι θεάς, ἐπειδή, ὡς ἔφαμεν, περὶ τὰ οὐράνια μᾶλλον ἐπτόηνται VMBarb οἱ φιλόσοφοι. V

book 254a κάθιζε: ἤγουν ἐπὶ τὴν τῶν φιλοσόφων ἕδραν. V

book 254b σκίμποδα NM: τὸν κράβατον οὕτω λέγουσιν Ἀττικοί. RVENM οἱ δέ φασι σκιμπόδιον ἰδίως δηλοῦν τὸ χωλὸν κραβάτιον· σκιμπάζειν γὰρ παρὰ τοῖς παλαιοῖς τὸ χωλεύειν εἴρηται παρὰ τὸ σκαμβοὺς ἔχειν τοὺς πόδας. VENBarb

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 255 τουτονὶ τοίνυν λαβὲ Barb: καὶ τοῦτο παρεπιγραφή. καὶ γὰρ τὸν Σωκράτην περιθεῖναι δεῖ τὸν στέφανον αὐτῷ, κἀκεῖνον λαβεῖν. VBarb

book 257a alpha ἀντὶ τοῦ εἰπεῖν “τὸν Φρίξον” “τὸν Ἀθάμαντα” εἶπεν ὡς ἄγροικος ἀγνοῶν τὰς ἱστορίας· οὐ γὰρ Ἀθάμας ἐφο〈νεύθη〉, ἀλλὰ Φρίξος. R

book 257a beta ὡς ἄγροικος “Ἀθάμαντα” εἶπεν ἀντὶ Φρίξου. R

book 257b τὸν Ἀθάμανθ’ M: τοῦτο πρὸς τὸν ἕτερον Ἀθάμαντα Σοφοκλέους ἀποτεινόμενος λέγει. VM πεποίηκε γὰρ ὁ Σοφοκλῆς τὸν Ἀθάμαντα ἐστεφανωμένον καὶ παρεστῶτα τῷ βωμῷ τοῦ Διὸς VMMatr ὡς VM σφαγιασθησόμενον· VMMatr καὶ μέλλοντος ἀποσφάττεσθαι αὐτοῦ παραγινόμενον Ἡρακλέα καὶ τοῦ θανάτου ῥυόμενον V 〈λέγοντα, ὡς σῴζοιτο ὁ Φρύξος, δι’ ὃν ἔμελλεν ἐκεῖνος τεθνήξεσθαι. ἐπεὶ οὖν καὶ ὁ πρεσβύτης ἔστεπται, ὥσπερ παραδείγματι τῷ κατ’ ἐκεῖνον χρώμενος, δεδοικέναι φησὶν ἐκείνῳ παραπλήσια.〉 Ald

book 257c ἐν Ἀθάμαντι Σοφοκλέους ὑπόκειται Ἀθάμας στεφανηφορῶν, ὥσπερ ἱερεῖον, δίκας εἰσπραττόμενος περὶ Φρύξου. BarbMatr

book 257d 〈εἰσάγεται ὁ Ἀθάμας ἐστεφανωμένος ὥσπερ ἱερεῖον σφαγιασθησόμενος διὰ Φρίξον, καὶ ῥύεται αὐτὸν Ἡρακλῆς εἰπὼν ζῆν τὸν Φρίξον. παραδείγματι οὖν χρώμενος ὁ Ἀριστοφάνης δεδιέναι φησὶ τῷ Ἀθάμαντι παραπλήσια μέλλοντι θύεσθαι.〉 Su. I 66, 24

book 258 τοὺς τελουμένους MBarb: τοὺς μυουμένους. RVNMbisAMatr ἐνδόξοις δὲ μυστηρίοις παραβάλλει τὰ τῶν φιλοσόφων μαθήματα, RVMBarb- Matr ἵνα ἔτι μᾶλλον πείθῃ προσανέχειν τὸν γέροντα ὡς θειοτέρῳ τῷ πράγματι. RVMBarb

book 260a λέγειν γενήσῃ R τρίμμα M: ἱκανὸς καὶ RM δεινὸς ἔσῃ λέγειν. RMMatr καὶ Δημοσθένης ἐν τῷ Περὶ τοῦ στεφάνου ὡς ἰταμοῦ καὶ ἀναισχύντου ῥήτορος καθαπτόμενος Αἰσχίνου “περίτριμμα ἀγορᾶς” αὐτὸν καλεῖ. Matr

book 260b τρίμμα Matr: τετριμμένος ἐν λόγοις. VMbisMatr

book 260c κρόταλον MBarbMatr: εὔγλωττος, RVMbisBarbMatr εὔστομος. VMBarbMatr ἡ μεταφορὰ ἀπὸ τοῦ κροτάλου. MBarbMatr

book 260d κρόταλον: κυρίως ὁ σχιζόμενος κάλαμος ὁ κατασκευαζόμενος ἐπίτηδες ὥστε ἠχεῖν, εἴ τις αὐτὸν δονοίη ταῖς χερσί, RBarbMatr καθάπερ κρότον ἀποτελῶν. RBarb τρανὸς οὖν ἔσῃ, φησί, καὶ τὴν φωνὴν διηρθρωμένος, καθάπερ κρόταλα. RMatr

book 260e alpha παιπάλη: τραχύς, δυσκατάληπτος· RV ἐπεὶ παίπαλα καλοῦμεν τὰ RVBarb τῶν χωρίων RV δύσβατα. RVBarb

book 260e beta παιπάλη: τὸ τραχύ. παιπαλόεν γὰρ Ὅμηρος τὸ τραχὺ καὶ δύσβατον καλεῖ. Matr

book 260f ταῦτα λέγων ἅμα ὁ Σωκράτης 〈ὥσπερ〉 εἰς τὰ θύματα

book 260f alpha πυρεκβόλους τρίβει λίθους καὶ τὰ τούτων συναγαγὼν Matr

book 260f beta λίθους παρατρίβων πωρίνους καὶ κρούων πρὸς ἀλλήλους συναγαγὼν τὰ ἀπὸ τούτων R

book 260f θραύσματα βάλλει τὸν πρεσβύτην RMatr αὐτοῖς, R καθάπερ τὰ ἱερεῖα ταῖς οὐλαῖς οἱ θύοντες, RMatr

book 260f alpha τρίμμα δὲ τὴν ἐκ τούτων ἐκπίπτουσαν λατύπην καλοῦμεν, καὶ Matr

book 260f beta καὶ διὰ τοῦτο παίζει τοῖς ὀνόμασι τρίμμα μὲν αὐτὸν ἔσεσθαι λέγων παρὰ τὸ τρίβειν καὶ θήγειν πρὸς ἀλλήλους τοὺς λίθους, R 〈κρόταλον δὲ παρὰ τὸ προσκρούειν τοὺς λίθους ἑαυτοῖς, παιπάλην δὲ διὰ τὴν ἀπὸ τούτων ἐκπίπτουσαν λατύπην. καλοῦμεν δὲ〉 Su.

book 260f

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν ἀνθρώπων τοὺς κακεντρεχεῖς καὶ μὴ ἁπλοῦς τρίμματα καὶ πολυτρίμματα καὶ πολυκρότους καὶ κρόταλα. ὅθεν καὶ τὸν πρῶτον τῆς Ὀδυσσείας στίχον οὕτω τινὲς λέγουσι γράφεσθαι ἄνδρα μοι ἔννεπε Μοῦσα πολύκροτον. Matr

book 260g ταῦτα λέγων συγκρούει λίθους ἄνωθεν αὐτοῦ. “τρίμμα” οὖν εἶπε διὰ τὸ τρίβεσθαι τοὺς λίθους, “κρόταλον” δὲ διὰ τὸ κρούειν τοὺς λίθους, M “παιπάλη” δὲ διὰ τὴν τραχύτητα. MBarb

book 261a ἀλλ’ R ἔχ’ ἀτρέμας RM: μένε ἐφ’ ἡσυχίας. RVEM βαλλόμενος γὰρ ὁ πρεσβύτης τῇ παιπάλῃ ἀποσείεται· διὸ παρακελεύεται αὐτὸν μένειν. RVM

book 261b οὐ ψεύσει γέ με: συγκατατίθεται περὶ πάντων Σωκράτην ἀληθεύειν ἅπερ ἐπαγγέλλεται· διὸ καὶ τὸ ἑξῆς πάνυ ἀστείως ἐπάγει. R

book 261c 〈οὐ ψεύσει γέ με: τουτέστιν ἀπατήσεις. ὅτι μηδὲν ὧν ἐπαγγέλλεται Σωκράτης ψεύδεται. πληρωθεὶς γάρ, φησί, τούτων, λέγω δὴ τῶν τριμμάτων τῶν λίθων καὶ τῆς λατύπης, ἣν ἔφαμεν παιπάλην καλεῖσθαι, γενήσομαι παιπάλη.〉 Ald

book 262 καταπαττόμενος: τῇ χιόνι παττόμενος, ἐὰν αἱ Νεφέλαι διέλθωσιν. λέγεται δὲ “παιπάλη” τὸ λεπτότατον τοῦ ἀλεύρου· ἀφ’ οὗ παλύνειν τὸ λευκαίνειν, 〈ὡς τὸ πολλὰς δὲ χιὼν ἐπάλυνεν ἀρούρας.〉 ἐπεὶ οὖν ἐκεῖνος εἶπε γενήσῃ τρίμμα, κρόταλον, παιπάλη, αὐτὸς ἔπαιξε παρὰ τὴν παιπάλην, τουτέστι τὸ ἄλευρον, εἰπὼν “καταπαττόμενος”. R

book 263a ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ ιβʹ. EMatr

book 263b alpha παρακελεύεται τὸν πρεσβύτην R

book 263b beta εὐφημεῖν χρὴ: ταῦτα πρὸς τὸν Στρεψιάδην. παρακελεύεται γὰρ αὐτὸν 〈V〉 M

book 263b σιωπᾶν καὶ εὐφημεῖν, ἵνα εὔξηται. RVM

book 263c ὥστε μηδὲν βλάσφημον εἰπεῖν. RVM

book 264a ἀμέτρητ’ ἀήρ: ἀκατάληπτε καὶ ἀναρίθμητε, τουτέστι μέγιστε. τὸν δὲ ἀέρα προσεύχεται, ἐπεὶ αἱ νεφέλαι τούτου τοῦ μέρους, ὡς τῶν φιλοσόφων λόγος, οἳ τὸ πᾶν ἀέρα βούλονται εἶναι· οἳ καὶ τὴν ἐν ἡμῖν ψυχὴν ἀέρα καὶ πνεῦμα διωρίσαντο εἶναι. R

book 264b ὃς ἔχεις τὴν γῆν RBarb μετέωρον: ὃς R περιείληφας τὴν γῆν RBarb ἅπασαν R καὶ βαστάζεις. RBarb καὶ οὗτος δὲ φιλοσόφων λόγος, ὅτι οὐκ ἐφέδρασται ἡ γῆ, ἀλλ’ ὑπὸ τοῦ ἀέρος πάντοθεν περιέχεται τὸν μέσον τοῦ παντὸς λαχοῦσα τόπον. R

book 264c δόξα τις τῶν φυσικῶν ἐθρυλεῖτο, ὅτι πλατεῖα οὖσα ἡ γῆ ὀχεῖται ἐν τῷ ἀέρι. RV

book 265a λαμπρός τ’ Αἰθήρ R: ἰδίως τὸ τοῦ ἡλίου φῶς αἰθὴρ καλεῖται ἀπὸ τοῦ αἴθειν, ὅ ἐστι πυροῦν· RVMatr θερμὸς γὰρ ὁ ἥλιος καὶ διάπυρος. RV διόπερ ὁ ποιητὴς εὐκαίρως τῷ ἐπιθέτῳ ἐχρήσατο RVMatr αἰθέρα λαμπρὸν εἰπών. RMatr

book 265b οὐχ οὕτω λέγει τὰς νεφέλας σεμνὰς θεάς, ὡς τὰς Ἐρινῦς, ἃς ἐκτρεπόμενοι πάντες ὀνομαστὶ λέγειν Εὐμενίδας αὐτὰς καὶ σεμνὰς θεὰς προσηγόρευσαν. τὸ γὰρ σιωπηλὸν σεμνὸν νενόμισται. VMatr

book 265c οἰκείως κἀνταῦθα τῷ ἐπιθέτῳ τούτῳ κέχρηται. δοκοῦσι γάρ πως αἱ νεφέλαι προδεικνύναι καὶ προσημαίνειν ἡμῖν τούς τε ὄμβρους καὶ τὰς χαλάζας τοῦ οὐρανοῦ, ὅτε βροντᾷ καὶ ἀστράπτει. R

book 265d ἐκ τῶν νεφελῶν φασι τὰς ἀστραπὰς καὶ βροντὰς γίνεσθαι· συγκρουομένας βροντᾶν, συντριβομένας ἀστράπτειν. R

book 265e βροντησικέραυνοι: ἀλλήλαις γὰρ προσερχομένων τῶν νεφελῶν πῦρ ἐξάπτεται ἐκ τῆς πυκνῆς ἐκτρίψεως. Barb

book 266a ἄρθητε: φυσικώτερον ἐχρήσατο 〈τούτῳ τῷ λόγῳ “ἄρθητε” εἰπών, οἱονεὶ ἐπάρθητε. φασὶ γὰρ τὰς νεφέλας εἰς ὕψος αἴρεσθαι κατ’ ὀλίγον ἀπὸ τῆς γῆς ἢ〉 τῆς θαλάσσης. Barb

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 266b δύναται καὶ ἐπὶ τοῦ Σωκράτους καὶ ἐπὶ τοῦ πρεσβύτου νοεῖσθαι. ἐπὶ μὲν τοῦ Σωκράτους, ἵνα ᾖ παρακαλῶν αὐτῷ φανῆναι τὰς Νεφέλας· ἐπὶ δὲ τοῦ γέροντος ὡς ἤδη συγκαταριθμοῦντος αὐτὸν τοῦ Σωκράτους τῷ 〈τῶν〉 φιλοσόφων 〈συλ〉λόγῳ. Matr

book 267a μήπω γε μήπω γε Barb: ἐπαναδίπλωσις καλεῖται τὸ τοιοῦτον σχῆμα VBarbMatr τοῦ λόγου V, τὸ δὶς τοῖς αὐτοῖς ὀνόμασι χρῆσθαι. VBarb 〈ἐμφαντικὸν δὲ καὶ λίαν ἐνεργητικὸν ἀπεργάζεται τὸν λόγον· δεδιττόμενος γὰρ δεῖται ὑπερθέσεως.〉 Su.

book 267b παρεπιγραφή. RBarbMatr διπλασιάσας γὰρ τὸ ἱμάτιον περιβάλλεσθαί φησιν αὐτὸ θέλειν RMatr

book 267b alpha διὰ τὸ σκέπεσθαι, ὡς ἂν μὴ ὁ ὑετὸς αὐτὸν καταβρέξῃ. τὰ γὰρ Διονύσια χειμῶνος ἄγεται. Matr

book 267b beta ὑπὲρ τοῦ σκέπεσθαι R 〈καὶ ἧττον αὐτοῦ καθικέσθαι τὸν ὑετὸν τοῦ σώματος.〉 Ald ἡ γὰρ ἀρχὴ τῶν Διονυσίων χειμῶνος ἄγεται. Barb

book 267c πτύξωμαι: ἀντὶ τοῦ Barb καλύψωμαι, EBarb 〈σκεπάσωμαι〉. Su.

book 268a alpha μὴ κυνῆν: περικεφαλαίαν, ἀγροίκων φόρημα. οὕτω δὲ ἐκλήθη, ἐπειδὴ πρῶτον ἀπὸ κυνείων δερμάτων ἦν. Barb

book 268a beta περικεφαλαίαν RV ἤτοι καμαλαύκιον. φασὶ δὲ τὸ πρότερον ἀπὸ κυνείου δέρματος γίνεσθαι. V

book 270a διὰ τὸ ἄδηλον ἐκ διαφόρων τόπων καλεῖ αὐτάς, M 〈ἵνα πιστευθῇ〉. Ald

book 270b ὅτι ἐπὶ τῶν τοιούτων τόπων τὰ νέφη συνίστανται. M

book 270c Ὀλύμπου] ὄρος Μυσίας. EMatr

book 271 λείπει ἡ σύν VEM ἀττικῶς, V ἵν' ᾖ M "σὺν Νύμφαις". VEM

book 272a λείπει ἡ ἐπί, ἵνα ᾖ "ἐπὶ ταῖς προχοαῖς τοῦ Νείλου". ζητεῖται δέ, τίνος ἕνεκεν μόνου τοῦ Νείλου μέμνηται. ὅτι σεμνολογεῖν λεληθότως ὁ ποιητὴς βουλόμενος τὰ καθ' αὑτόν—ἦν γὰρ τὸ γένος Αἰγύπτιος—καιρὸν οὖν εὑρὼν μνήμην τοῦ Νείλου πεποίηται. V

book 272b ἀπὸ τῶν ποταμῶν ἀρύονται ὕδωρ εἰς χρῆσιν. M

book 273a alpha ἢ Μαιῶτιν λίμνην: περὶ ταύτης καὶ Ἡρόδοτος μαρτυρεῖ λίμνην εἶναι Σκυθίας. M

book 273a beta αὕτη Σκυθίας ἐστὶ λίμνη· περὶ ταύτης καὶ Ἡρόδοτος ἱστορεῖ. V

book 273b σκόπελον νιφόεντα: ψυχρότατον, ἀεὶ νιφόμενον. V

book 273c Μίμαντος] ὄρος Θρᾴκης. VA

book 274 χαρεῖσαι] γρ. φανεῖσαι. E

book 275a ἀένναοι Νεφέλαι Barb: μετὰ τὴν τοῦ Σωκράτους εὐχὴν αἱ Νεφέλαι παρακελεύονται δῆθεν ἑαυταῖς πεισθῆναι τῇ ἐπικλήσει καὶ συναθροισθῆναι, καὶ οὕτως ἐπιφανῆναι τῷ Σωκράτει. ἐκ τούτων δὲ ὁ χορὸς συνέστηκεν αὐτῷ· RVBarb διόπερ καὶ τὴν ἐπιγραφὴν ταύτην ἔχει τὸ δρᾶμα. RBarb

book 275b ἀέναοι: αἱ RVBarb ἀεὶ νάουσαι. RVEBarb

book 275c καλῶς εἶπεν "ἀέναοι"· εἰσὶ γὰρ ὑδάτων μητέρες. R

book 275d 〈τοῦ χοροῦ τὰς ἑκατέρωθεν λέγουσι περιόδους, οὔσας ις′ κώλων· τῶν δὲ ὑποκριτῶν μέσων ὄντων ἐκ στίχων ζ′ ἀναπαίστων τετραμέτρων καταληκτικῶν.〉 Ald

book 276 ἀρθῶμεν φανεραὶ] δεῦρο, ἵνα εἰς ὕψος ἐπαρθῶμεν. E

book 277a νεφέλη ἐστὶν ἡ ἐξ ἀέρος καὶ πνεύματος οὐσία RV παχυνομένη σωματοειδῶς. R

book 277b δροσερὰν φύσιν] κατὰ τήν. E

book 277c εὐάητον R (εὐάγητον V)] λαμπράν, RV καθαράν. R

book 277d εὐάγητον] τὴν εὐκόλως ἀγομένην ENM ὑπὸ τῶν πνευμάτων. E

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 278a ἀκολούθως τοῖς ὑπὸ τοῦ Σωκράτους εἰρημένοις εἴτ' Ὠκεανοῦ πατρὸς ἐν κήποις. ἀλλ' ὁ μὲν διὰ τὸ ἄδηλον ἐκ διαφόρων αὐτὰς τόπων καὶ πηγῶν καλεῖ, ἵν' οὕτω γοῦν τῆς ἀληθείας τυχεῖν 〈δυνηθῇ〉 · αἱ δὲ ἅτε

book 278a alpha 〈τῆς ἑαυτῶν γενέσεως γινώσκουσαι τὸ ἀκριβὲσ〉 Ald

book 278a beta τὴν ἑαυτῶν γένεσιν γινώσκουσαι V

book 278a εὐθὺς διωρίσαντο, πόθεν αὐτὰς ἀρθῆναι δεήσει. V

book 278b βαρυαχέος V: τοῦ βαρέως ἠχοῦντος. RVEA 〈οἱ γὰρ βαρεῖς ποταμοὶ ῥέοντες μέγαν ἦχον ἀπεργάζονται.〉 Su. Ald

book 279a ἔφαμεν, ὅτι τοῖς ὑψηλοτάτοις τῶν ὀρῶν ἐπικάθηνται αἱ νεφέλαι. RV

book 279b ἐπὶ πλέον γὰρ αἱ νεφέλαι εἰς τὰς κορυφὰς τῶν ὀρῶν συνίστανται. A

book 280a δενδροκόμους V: τὰς κομώσας τοῖς δένδροις. RVNM

book 280b alpha ἵνα—ἀντὶ τοῦ RM "ὅπου"— RMbis τὰ πόρρω καθεζόμεναι βλέπομεν. R

book 280b beta τηλεφανεῖς VBarb σκοπιὰς Barb: ἀφ' ὧν ἔστιν ἰδεῖν τὰ πόρρω. τοῖς γὰρ εἰς ὕψος 〈ἰ〉 οὖσι καὶ τὰ μακρὰν καταφανῆ VMBarb γίνεται. V

book 281alpha τηλεφανεῖς σκοπιὰς ἀφορώμεθα] ὑψηλοὺς τόπους θεώμεθα. E

book 281beta τηλεφανεῖς σκοπιὰς ἀφορώμεθα] εἰς ὑψηλοὺς τόπους βλέπωμεν. A

book 282 ἀρδομέναν] ἀρδευομένην. R ὑγραινομένην. E ποτιζομένην. M

book 283a ζαθέων] ἄγαν θείων. VNM

book 283b κελαδήματα] ἠχήματα. RVM

book 284 βαρύηχον· RVM διὰ τὸν τῶν κυμάτων ψόφον. RV

book 285alpha ἔοικε λέγειν τὸν ἥλιον· M- BarbMatr ἐπεὶ καὶ οἱ τραγικοὶ εἰώθασιν ὀφθαλμὸν ὀνομάζειν αὐτόν. MBarb

book 285beta ὄμμα 〈...〉 αἰθέρος R: τὸν ἥλιον λέγει. RM

book 286 σελαγεῖται MBarb: ἐκπυροῦται, R λάμπει. RVENMbisABarbMatr

book 287 λάμπραις. VE μαρμαίρειν γὰρ τὸ λάμπειν V 〈καὶ καταυγάζειν〉. Su.

book 288a διασκορπίσασαι τὴν χειμερινὴν ἀπειλήν, RV ἀποβαλοῦσαι. R

book 288b ἀποσεισάμεναι] ἀποτιναξάμεναι. ENM

book 288c ὄμβριον] τὸ ὄμβρον ποιοῦν. E

book 289a ἀθανάταις ἰδέαις: ἐπεὶ καὶ γυναικοειδεῖς εἰσιέναι μέλλουσι, τοῦτο λέγουσι παρασκευαζόμεναι τὴν εἴσοδον, ὡς ὅμοιαι μὲν τοῖς ἄλλοις θεοῖς οὖσαι, περικείμεναι δὲ νέφους τινὰ φύσιν. MBarb

book 289b ἵνα γυναῖκας εἰσαγάγῃ τὰς τοῦ χοροῦ, τοῦτό φησιν. R

book 289c ἐπιδώμεθα] ἐπιφανῶμεν. E

book 290 τὰ πάντα ἐφορῶντι. R

book 291a ὦ θαυμασιώταται καὶ ὑπεράγαν σεμναί. RbisV ταῦτα μὲν καθ' ἑαυτόν, τὸ δὲ "ᾔσθου φωνῆς" πρὸς τὸν Στρεψιάδην ὁ Σωκράτης. V

book 291b μέγα] κατὰ πολύ. E

book 291c 〈φανερῶς: ἐναργῶς, ἑτοίμως.〉 Su. IV 696, 13

book 292a ᾔσθου] ἔγνως καὶ ἤκουσας. E

book 292b alpha ἔστιν ἐν τῇ σκηνῇ μηχάνημά τι, ὃ καλεῖται βροντεῖον, ἀμφορεὺς μεστὸς ψηφίδων ἀμφιβαλλόμενος εἰς χαλκοῦν λέβητα. Barb

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 292b beta μηχάνημά τι ἐστίν, ὃ καλεῖται βροντεῖον RMBarb ὑπὸ τὴν σκηνήν, RM ὃ ἦν ἀμφορεὺς ἔχων ψηφῖδας θαλασσίας. ἦν δὲ λέβης χαλκοῦς, εἰς ὃν αἱ ψῆφοι κατήγοντο· RMBarb καὶ κυλιόμεναι ἦχον ἀπετέλουν RM ἐοικότα βροντῇ. R

book 292c ἅμα καὶ βροντῆς: ἐν ταῖς κωμῳδίαις τὰ καλούμενα ἠχεῖα, ὧν ὁ κτύπος σχηματίζεται εἰς βροντῆς ἀπήχησιν. Barb

book 292d μυκησαμένης] ἠχησάσης. ENMA

book 292e ὑπὸ θεῶν καταπεμφθείσης, R ⟨θείας τινὸς καὶ τετιμημένης.⟩ Su.

book 293a καὶ σέβομαί MBarb: ἀντὶ τοῦ “προσκυνῶ” VMBarb ἢ “καταπέπληγμαι”. MBarb δεῖ δὲ καὶ τοῖς τούτου σχήμασιν ἐνδείκνυσθαι τὸ δεδιττόμενον καὶ ἐπὶ τῇ παρουσίᾳ τῶν Νεφελῶν ἐκπεπληγμένον. Barb

book 293b ὡς σεβασμίας καὶ τιμωμένας. προσκυνῶν δῆθεν ταῦτα λέγει. Barb

book 293c alpha βούλομαι ⟨ἀνταποπαρδεῖν⟩ M: ἀντηχεῖν. EMMatr ἔπαιξε δὲ ὁμοιῶν τῇ πορδῇ τὸν ἦχον τῆς βροντῆς. M

book 293c beta ἀνταποπαρδεῖν Barb: ἀντικτυπῆσαι RNBarb καὶ RBarb ἀντηχῆσαι. Rbis VMBarb περὶ δὲ τὴν βροντὴν ἔπαιξεν ὁμοιῶν αὐτῇ τῆς πορδῆς τὸν ἦχον. RBarb

book 294 τρέμω. RVNM παραγώγως· ἐπίτηδες δὲ ἐξέτεινε τὴν λέξιν τερατευόμενος. V

book 295 καὶ RVMatr εἰ εὐσεβές RVMMatr ἐστι καὶ εἰ μὴ RVMatr εὐσεβές, Matr χέσαι ἔχω. ὡς ὑπὸ τοῦ φόβου προειλημμένος καὶ μὴ δυνάμενος ⟨ἑαυτὸν⟩ ἀνασχεῖν ἔτι. ὁ γὰρ ἐπιστάμενος, ὅτι μὴ δέοντα ποιεῖ, εἶτα τοῦτο οὐδὲν ἧττον ποιῶν ὑπὸ μείζονος ἀνάγκης ἐξαγόμενος εἰς τὸ παρανομεῖν, ⟨δείκνυσιν⟩ ἑαυτόν. V

book 296a μὴ σκώψῃς N: τοῦτο ὁμοῦ μὲν ὁ Σωκράτης καὶ ὡς περιφρονῶν τὰ ἀνθρώπινα ⟨πιστῶσ⟩ λέγει καὶ τοὺς τῆς κωμῳδίας ποιητὰς ἡγούμενος ἀθλίους, ὁμοῦ δὲ καὶ Ἀριστοφάνης ⟨ὡσ⟩ αὐτὸς μὲν ὢν ⟨ἀμώμ⟩ ητ ⟨ος, τ⟩ ῶν δὲ ἄλλων κωμῳδογράφων ἀτεχνούντων ὡς καταλιπόντων μὲν τὴν ποίησιν, τοῦ δὲ σκώπτειν ἐχομένων. EN

book 296b ⟨τρυγοδαίμονες: οἱ κωμικοί· παρὰ τὸ κακοδαίμονες· ἐπεὶ πολλῇ τῇ αἰσχροποιΐᾳ ἐχρῶντο.⟩ Ald

book 296c ⟨κακοδαίμονες· παρόσον ἀφέμενοι τῶν θείων περὶ τὸ σκώπτειν τρέπονται.⟩ Ald

book 296d οἱ τρυγοδαίμονες N: τοὺς ἄλλους κωμικοὺς λέγει, διότι ἐχρίοντο τρύγα οἴνου καὶ ἐποίουν ἄσεμνά τινα. NM

book 297a alpha ⟨σμῆνος: κυρίως μὲν τὸ σύστημα τῶν μελισσῶν. Ὅμηρος δὲ κέχρηται τῇ τροπῇ ἐπὶ εὐγλωττίας ἐπαινῶν τὸν Νέστορα Ald

book 297a beta σμῆνος: οἱονεὶ ἑσμός. κυρίως δὲ τὸ σύστημα τῶν μελισσῶν. M ⟨ὁμηρικῶς οὖν κέχρηται τῇ τροπῇ· φησὶ γὰρ περὶ τοῦ Νέστορος Su.

book 297a τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή.⟩ Ald Su.

book 297b τὸ πλῆθος RNM τῶν μελισσῶν. R

book 297c alpha οὐδέτερόν ἐστι σμῆνος. M

book 297c beta ⟨ἡ δοτικὴ τῷ σμήνει.⟩ Su. IV 393, 10

book 297d τουτέστι σμῆνος τῶν Ἀριστοφάνους ᾠδῶν. M

book 297e ἀοιδαῖς] ταῖς ποιήσεσι ταῖς ἐμαῖς. E

book 298 τοῦτο οὐχ ὑφ’ ἓν ἀναγνωστέον, οὐδὲ ὡς ἐπίθετον τῶν Νεφελῶν τὸ “ὀμβροφόροι” νῦν ἐκληπτέον, ἀλλ’ ὡς αὐτὸ καθ’ αὑτὸ πρᾶγμα δηλοῦν. ἢ καὶ ἄμεινον μὲν ⟨ἂν⟩ εἴη ὑποστίζειν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰς τὸ “παρθένοι” 〈συ〉ζευγνύναι δὲ τὸ “ὀμβροφόροι” τῷ ἐπιφερομένῳ, ἵνα ᾖ νοούμενον “ἔλθωμεν ἐπὶ τὴν Ἀθηναίων γῆν ὄμβρου γέμουσαι”· καὶ γὰρ εἰ ἀμφοτέρως ἡ ἔννοια σῴζεσθαι δύναται, ἀλλ’ εὐφημότερόν ἐστιν. ὡς προειρήκαμεν, αἱ Νεφέλαι πάλιν παρακελευόμεναί φασιν· ὅλαι ὀμβρίας πληρωθεῖσαι τῇ τῶν Ἀθηναίων ἐπιστῶμεν πόλει. ἡ δὲ τοιαύτη διαστολὴ ὑπεναντία τοῖς ἄνω γενήσεται προειρημένοις ὑπὸ τοῦ ποιητοῦ, ὡς δεῖ τὰς Νεφέλας τὸ λοιπὸν εὐδίους εἶναι, δι’ ὧν ἔφη ἀλλ’ ἀποσεισάμεναι νέφος ὄμβριον ἀθανάταις ἰδέαις ἐπιδώμεθα. πρὸς τοῦτο οὖν ἐκεῖνο ἀντιθετέον, ὅτι τὸ συμβαῖνον περὶ τὰς νεφέλας αἰνιττόμενος ὁ ποιητὴς παλίμβολόν τινα καὶ παλίστροφον ἐποίησε τὴν γνώμην αὐτῶν, ἐπεὶ ἔκ τε χειμῶνος εἰς εὐδίαν χωρεῖν καὶ αὖ πάλιν ἐξ εὐδίας χειμά-

book 298 ζειν πεφύκασιν. V

book 299a λιπαρὰν: διὰ τὴν ἐλαίαν τὴν οὖσαν ἐν αὐτῷ. R

book 299b εὐθαλῆ, τὴν πᾶσι κομῶσαν. καὶ Πίνδαρος ὦ ταὶ λιπαραὶ καὶ ἀοίδιμοι, Ἑλλάδος ἔρεισμα, κλειναὶ Ἀθῆναι. V

book 299c λιπαρὰς τὰς Ἀθήνας οὐκ ἀπεικότως καλοῦσι, μάλιστα μὲν διὰ τὸ δόξαι πλουτεῖν τὴν πόλιν, ἔπειτα δέ 〈τοι καὶ〉 διὰ τὴν τῶν ἡμέρων τροφῶν εὕρεσιν· παρ’ οἷς ἔτι καὶ νῦν 〈τὸ λιπαρὸν τῆς ἐλαίασ〉 δείκνυται. V

book 301a Κέκροψ αἰγύπτιος ὢν ᾤκισε τὰς Ἀθήνας, ὅθεν οἱ Ἀθηναῖοι Κεκροπίδαι. τινὲς δέ φασι τοῦτον καὶ διφυῆ γενέσθαι· οἱ μέν, ὅτι τὰ ἄνω ἀνδρὸς εἶχε, τὰ δὲ κάτω θηρίου· ἕτεροι δέ, ὅτι νόμους πολλοὺς ἐφεῦρε τοῖς ἀνθρώποις καὶ ἀπ’ ἀγριότητος εἰς ἡμερότητα ἤγαγεν· ἄλλοι δέ, ὅτι τῶν ἀνδρῶν ὡς ἔτυχε μισγομένων γυναιξὶ καὶ ἐκ τούτου μὴ γινωσκομένων ἢ τοῦ παιδὸς παρὰ τοῦ πατρὸς ἢ τοῦ πατρὸς παρὰ τοῦ παιδὸς αὐτὸς νόμους θέμενος, ὥστε φανερῶς συγγίνεσθαι αὐταῖς καὶ μιᾷ στοιχεῖν, καὶ σχεδὸν εὑρὼν τὰς δύο φύσεις, τοῦ τε πατρὸς καὶ τῆς μητρός, τούτου χάριν διφυὴς ἐκλήθη. V

book 301b ὀψόμεναι] μέλλουσαι ὄψεσθαι. EM

book 301c alpha πολυήρατον] τοῖς πολλοῖς Ν ἐράσμιον. NM

book 301c beta πολυήρατον] ἐρασμίαν. V

book 302a οὗ σέβας ἀρρήτων R: ὅπου σέβασμά ἐστι καὶ ἀπόρρητα μυστήρια. λίαν γὰρ αὐτοῖς τὸ μὴ ἐξαγγέλλεσθαι ταῦτα ἐσπουδάζετο. RV

book 302b οὗ] ὑπάρχει. E

book 302c ἵνα] ὅπου. RENM

book 303a ἵνα μυστοδόκος δόμος R: μυστικὸς καὶ ἱερός, τουτέστι RV τοὺς μύστας ὑποδεχόμενος. RVE

book 303b τὴν Ἐλευσῖνα λέγει, RVMatr ἐν ᾗ ἱερὸν ἐτύγχανεν, Matr ἔνθα τὰ Δήμητρος καὶ Κόρης ἐπιτελεῖται μυστήρια. RVMatr

book 304a ἐν τελεταῖς ἁγίαις R: ἐν τελεσιουργίαις ὁσιωτάταις, τουτέστι τοῖς μυστηρίοις. εἰκότως δὲ τὰς Νεφέλας παρήγαγε πρῶτον σεμνολογούσας περὶ τῶν μυστηρίων, RV ἐπεὶ ἔχουσί 〈τινα〉 πρός τε τὰς θεὰς ταύτας καὶ τοὺς δι’ αὐτὰς καρποὺς τελειουμένους οἰκειότητα. V εἰ γὰρ τῶν Νεφελῶν τὸ βρέχειν, ἀδύνατον δὲ καρποὺς ἄνευ ὄμβρου γεωργεῖν, πῶς οὐκ οἰκεῖος ὁ περὶ τῶν θεῶν ταῖς Νεφέλαις λόγος; εἴ γε καὶ τὸν Ἴακχον αὐτὸν ἐχόρευσαν ταῖς θεαῖς, RV ὡς Ἡρόδοτος ἱστορεῖ. ἐν γὰρ τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ κατὰ πολὺ λειπομένων τῶν Ἑλλήνων τοῦ πλήθους τῶν περσικῶν νεῶν συμμαχῆσαι τοῖς Ἀθηναίοις τὴν Δήμητρα καὶ τὴν Κόρην ἱστορεῖ μέγιστον τῆς συμμαχίας ἐπιδειξαμένας καὶ ἐναργέστατον τεκμήριον. μελλόντων γὰρ λοιπὸν τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων εἰς χεῖρας ἥξειν πρῶτον μὲν πλεῖστον ὅσον κονιορτὸν ἀπὸ τῆς Ἐλευσῖνος αἰρόμενον πάσῃ τῇ στρατιᾷ κατάδηλον γενέσθαι. εἶτα τοῦτον εἰς οὐρανὸν ἀνιόντα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ γενόμενον νέφος διὰ τοῦ στρατοπέδου μέσου παρίπτασθαι τὸν Ἴακχον βοῶντα. μυστικὸς ὁ λόγος. V

book 304b τελεταῖς] θυσίαις. E

book 304c ἀναδείκνυται] κατὰ τὸν καιρὸν τῶν ἁγίων τελετῶν. E

book 305 οὐρανίοις τε θεοῖς RBarb: πρὸς ἀντιδιαστολὴν τῶν καταχθονίων, RVBarbMatr

book 305alpha τῆς τε Δήμητρος καὶ Κόρης. ἐπήγαγε δὲ τοῦτο ὑπερβαλλόντως εὐσεβῆ τὴν πόλιν δεῖξαι βουλόμενος. Barb

book 305beta ὧν ἡ Δημήτηρ καὶ Κόρη. τὸ "οὐρανίοις" δὲ "θεοῖς" ἐπήγαγεν ὑπερβαλλόντως εὐσεβῆ βουλόμενος ἀποδεῖξαι τὴν πόλιν. RVMatr

book 305 αἱ μὲν γὰρ ἄλλαι πόλεις ἑνί τινι RVBarbMatr προσ– RVMatr κεῖνται θεῷ, αἱ Ἀθῆναι δὲ πάντας RVBarbMatr τοὺς θεοὺς RVMatr ἀδιαφόρως BarbMatr τιμῶσιν. RVBarbMatr

book 307a alpha 〈θρησκεῖαι περὶ τοὺς βωμούς, πρόσοδοι τοῖς θεοῖς καὶ προσελεύσεις.〉 Ald

book 307a beta καὶ πρόσοδοι: καὶ R θρησκεῖαι RVM περὶ τοὺς θεούς, RM πρόσοδοι περὶ τοὺς βωμοὺς καὶ προσελεύσεις. M

book 307b πρόσοδοι] θυσίαι. E

book 308a alpha εὐστέφανοί τε θεῶν θυσίαι: παρὰ τὸ ὁμηρικὸν εἴ ποτέ τοι χαρίεντ' ἐπὶ νηὸν ἔρεψα αὗται γάρ εἰσιν εὐστέφανοι θυσίαι, κοσμεῖν MBarb μὲν καὶ στεφανοῦν τοὺς ναούς, πληροῦν δὲ τοὺς βωμοὺς 〈ἱερῶν καὶ〉 θυμιαμάτων. Barb

book 308a beta εἰς τὸ κοσμεῖν καὶ ἀναδεῖν στεφάνοις τοὺς νεώς, πληροῦν δὲ τοὺς βωμοὺς ἱερείων καὶ θυσιῶν. V

book 308b θυσίαι] ἑορταί. RVEN

book 309 θαλίαι] πανηγύρεις. RVE

book 310a 〈διηνεκῶς, παντὶ καιρῷ. διὰ τὸ θρησκεύειν πάντασ〉 θεοὺς καὶ πανηγυρίζειν ἀεὶ θύουσι διὰ πάντος καὶ διηνεκῶς. M

book 310 b παντοδαπαῖς ἐν ὥραις R: διὰ παντὸς καὶ διηνεκῶς καὶ ἐν παντὶ καιρῷ. διὰ γὰρ τὸ πάντας θρησκεύειν τοὺς θεοὺς θύουσι καὶ πανηγυρίζουσιν ἀεί. RV

book 311a ἦρί τ' ἐπερχομένῳ R: τὴν παροῦσαν ἑορτὴν λέγει, τουτέστι τὰ Διονύσια. RV ἀρχομένου γὰρ τοῦ ἦρος ἄρχεται καὶ ἡ πανήγυρις. RVMatr

book 311b βρομία χάρις: ἡ διονυσιακὴ ἑορτή. ἀρχομένου γὰρ τοῦ ἦρος ἄρχονται καὶ Barb οἱ διονυσιακοὶ ἀγῶνες, ἐν οἷς αἱ ἅμιλλαι τῶν χορῶν. VBarb

book 311c βρομία] τουτέστιν ἡ τελουμένη κατὰ τὸν καιρὸν τῶν Διονυσίων. E

book 312a εὐκελάδων RM τε χορῶν R: τῶν εὐμούσων καὶ ἡδέων χορῶν ἅμιλλαι. τοῖς γὰρ Διονυσίοις τοὺς κυκλικοὺς χοροὺς ἵστασαν καὶ ἠγωνίζοντο οἱ κωμικοὶ καὶ οἱ τραγικοὶ ποιηταὶ ἀναγορεύοντες τὰ RVM ὑπόγυον αὐτοῖς πεποιημένα VM δράματα. RVM

book 312b ἐρεθίσματα] ὄργανα μουσικά. E

book 313 βαρύβρομος: ἀντὶ τοῦ R "πολύηχος, RE πολλὰ βρέμουσα". προσηύλουν γὰρ καὶ ταῖς τραγῳδίαις καὶ ταῖς κωμῳδίαις καὶ τοῖς κυκλίοις χοροῖς. R

book 314 στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ ρκε'. E

book 315a λεληθότως ἑαυτὸν ἐπαινεῖ· RVE σεμνὸν γάρ, φησίν, ἐστὶ τὸ μέλος. RV

book 315b μῶν ἡρωῖναι: κατὰ τὸ ἀρχαῖον καὶ σύνηθες αὐτοῖς ἐνθάδε τρισυλλάβως προήνεγκε τὸ "ἡρωῖναι". R

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 315c ἡρωΐναι: ἀττική ἐστι συναίρεσις, ὡς ἠΐθεοι, 〈ἤθεοι〉. V

book 316a ἀνδράσιν ἀργοῖς MBarb: τοῖς φιλοσόφοις. RMbisBarb διασύρει δὲ αὐτοὺς πάλιν. ὠφέλιμοι, φησίν, εἰσὶ τοῖς τῶν ἀνθρώπων ἀπράκτοις· οἱ γὰρ ἀργοὶ κεχήνασιν εἰς τὰς νεφέλας. MBarb

book 316b ἀργοῖς] σοφοῖς. V

book 317a γνώμην] γνῶσιν. RNMA

book 317b αἵπερ 〈γνώμην〉 Msec. καὶ Barb νοῦν Mpr.Barb ἡμῖν παρέχουσι Barb: φρόνησιν NMsec./tert.ABarb καὶ Msec.Barb σύνεσιν, MterBarb ὡς τὰ δέοντα νοεῖν. Msec.Barb

book 317c διάλεξιν RMBarb: λόγων ἐμπειρίαν, RVMbisBarb ὥστε τὰ νοηθέντα φράζειν RVMBarb δύνασθαι. MBarb

book 317d διάλεξιν: λόγων θεωρίαν. διαφέρει διάλεξις διαλέκτου, ὅτι διάλεκτος μέν ἐστι φωνῆς χαρακτὴρ ἐθνικός, διάλεξις δὲ τῆς συνήθους φωνῆς ἐκτροπὴ ἐπὶ τὸ σεμνότερον. R

book 317e διάλεξιν] ὁμιλίαν. ENM

book 317f διάλεξιν] διάνοιαν. MA

book 318a alpha τερατολογίαν, ὥστε τὰ ἀπίθανα λέγειν πράγματα. Barb

book 318a beta τερατείαν: τερατολογίαν, RV παραδοξολογίαν. τερατολογεῖν δέ ἐστι τὸ ἀπίθανα διηγεῖσθαι ἔξω τῶν ἀνθρωπίνων πραγμάτων. R

book 318b τερατείαν MBarb: ψευδολογίαν. NMBarbMatr

book 318c περίλεξιν RVM: περιττολογίαν, M περίφρασιν. RVEM 〈λεληθότως δὲ δείκνυσιν, ἐκ πόσων συνέστηκε ῥητορεία· δεῖ γὰρ πρῶτον νοῆσαι, εἶτα ἑρμηνεῦσαι τὸ νοηθέν· ὅπερ ἐστὶ λοιπὸν ἔργον τοῦ τῆς ἐξηγήσεως λόγου.〉 Su. IV 101, 24

book 318d κροῦσιν Mpr.: δοκιμασίαν· RMter ἐπεὶ τὰ σαθρὰ κρουόμενα δοκιμάζονται. Mpr.

book 318e κροῦσιν] φανέρωσιν γνώσεως. E

book 318f alpha κροῦσιν: τὸ ἀπατῆσαι καὶ παραλογίσασθαι τὸν ἀκούοντα, οἷον παρακρούσασθαι καὶ συναρπάσαι. R

book 318f beta κροῦσιν VMsec.: παραλογισμὸν VMter καὶ ἀπάτην Mter πρὸς τὸ ἀναρπάσαι τὸν ἀκούοντα. Mpr.

book 318g ἐπισυνάπτει παίζων ταῦτα. "κροῦσιν" δὲ εἶπεν ὡς ἐπὶ μουσικῆς. NM

book 318h 〈μουσικῶς ταῦτα εἶπε. λέγουσι γὰρ κατάληψιν, ἐπειδὰν καταλάβωσι τῷ πλήκτρῳ ἢ τοῖς δακτύλοις τὰς χορδὰς πλήξαντες, ὡς μὴ ἀποτείνεσθαι τὸν φθόγγον.〉 Su. III 49, 11

book 318i "κατάληψιν" δέ φησιν ὥστε τὰ νοηθέντα φράζειν. V

book 318k κατάληψιν] ἀληθῆ E γνῶσιν. ENMbisMatr

book 318l τὴν αἴσθησιν καὶ τὴν τέχνην. M

book 391a λείπει ἡ V διά· VENAMatr ἀντὶ τοῦ V "διὰ ταῦτα" RV ἀττικῶς. V

book 319b πεπότηται: ἀνέπτη καὶ ἀνεκουφίσθη καὶ μετέωρα φρονεῖ ἤδη. VM

book 320a alpha λεπτολογεῖν: καὶ τοῦτο διασυρμοῦ λέγει χάριν ὡς ἰσχνὰ τῶν φιλοσόφων ζητούντων ζητήματα. M

book 320a beta διασύρει τὰ τῶν φιλοσόφων ὡς ἰσχνὰ ὄντα. R

book 320b ζητεῖ] ὁρμᾷ. E

book 320c περὶ καπνοῦ: ἀντὶ τοῦ "περὶ μηδενὸς καὶ κενῶν πραγμάτων". M

book 320d στενὸς γὰρ καὶ ἀμενηνὸς RM καὶ ἀσθενὴς M ὁ καπνός. RM

book 320e παρὰ τὸ μεταρσιολεσχεῖν τὸ "στενολεσχεῖν" εἴληπται καὶ τὸ μηδέν. M

book 320f στενολεσχεῖν: τὸ “στενολεσχεῖν” ἀντὶ τοῦ R “λεπτολογεῖν”. RENM

book 321a ἀντὶ τοῦ V συνάψας. RV

book 321b νύξας’] διεγείρασα. E

book 321c alpha ἑτέρῳ λόγῳ ἀντιλογῆσαι] τῷ ῥηθέντι λόγῳ ἀντιθεῖναι ἕτερον. E

book 321c beta ἕτερον λόγον τῷ ῥηθέντι ἀντιθεῖναι. RV

book 323a 〈καθ’〉 ὑπερβατόν. λέγειν γὰρ βούλεται· βλέπε νῦν δευρὶ πρὸς τὴν Πάρνηθα ἡσύχως· ὁρῶ γὰρ ἤδη κατιούσας αὐτάς. V

book 323b τὴν Πάρνηθ’] ὄρος Ἀττικῆς. RVMAMatr

book 323c θηλυκῶς ἡ Πάρνης. RV

book 323d δείκνυσιν αὐτῷ ὄρος ἐν τῷ θεάτρῳ τὴν Πάρνηθα, ἐξ οὗ κατέρχονται. EN

book 324 χωροῦσ’ αὗται EN: τὸ “χωροῦσι” καθ’ αὑτὸ ἀναγνωστέον, εἶτα ὡς τοῦ πρεσβύτου οὐχ ὁρᾶν λέγοντος προστίθησι πλέον ἐκτείνων τὴν προφορὰν τοῦ λόγου τὸ “αὗται πάνυ πολλαί”. εἶτα δὲ ὡς οὐδὲ οὕτως ὁρῶντος πρὸς πλείονα γνῶσιν προστίθησι καὶ τόπον. τὴν δὲ τῶν λεγομένων ἐνάργειαν τὰ τῶν ὑποκρινομένων σχήματα δείκνυσιν. VEN

book 327a νῦν γέ τοι ἤδη καθορᾷς: τῶν Νεφελῶν πλησίον οὐσῶν ἐκεῖνος μηδ’ οὕτως ὁρῶν τοῦτο νῦν προσέθηκεν, ἵν’ ᾖ τὸ νοούμενον οὕτως· EM νῦν αὐτὰς ὁρᾷς, εἰ μὴ λήμας ἔχεις ἐν τοῖς ὀφθαλμοῖς μεγάλας ὡς κολοκύντας. λήμη δέ ἐστι τὸ πεπηγὸς δάκρυον. REM

book 327b εἰ μὴ λημᾷς κολοκύνταις Rpr: παροιμία ἐπὶ τῶν τὰ μεγάλα παρορώντων. RbisVE

book 328a νὴ Δί’ ἔγωγε EM: ἔξωθεν ὑπακούεται τὸ “ὁρῶ VEM ὡς ἀληθῶς”· ἑώρα γὰρ πλησίον οὐσῶν. EM

book 328b ἀντὶ τοῦ RV „πάντα τόπον περιειλήφασιν“. RVE

book 330 σκιὰν] καπνόν. E

book 331a ὁτιὴ E πλείστους RE αὗται βόσκουσι R σοφιστάς V: πάντας τοὺς πεπαιδευμένους. VE νῦν δὲ τοὺς μεταρσιολέσχας λέγει, RE καταχρηστικῶς δὲ R καὶ πάντας τοὺς ἀπὸ τῶν μαθηματικῶν ὁρμωμένους. RE καὶ θαυμαστὸν οὐδέν, ὅπου μηδὲ τοὺς αὐλητὰς οὕτω 〈προσ〉 αγορεύειν ὤκνησαν· Πλάτων γοῦν ὁ κωμικὸς ἐν δράματι Σοφισταῖς καὶ τὸν ὀπούντιον αὐλητὴν Βακχυλίδην εἰς τοὔνομα κατέταξε τῶν σοφιστῶν. E

book 331b καταχρηστικῶς νῦν ἐπὶ πάσης ἐπιστήμης παρέλαβε τὸ ὄνομα τῶν σοφιστῶν. E

book 332a alpha θουριομάντεις: ἀπὸ τοῦ γενικοῦ ἐχώρησεν ἐπὶ τὸ κατ’ εἶδος. εἰπὼν γάρ, ὅτι πάντας αἱ Νεφέλαι τρέφουσι τοὺς σοφιστάς, ἐπήγαγε τίνας καὶ τίνας. θουριομάντεις οὖν οὐ τοὺς ἀπὸ τοῦ Θουρίου μάντεις, ἀλλὰ τοὺς εἰς Θούριον πεμφθέντας. ἁλούσης γὰρ Συβάρεως Θούριοι ἐκλήθησαν ἀπὸ κρήνης Θουρίας. ἐξέπεμψαν δὲ ἐπὶ τὴν κτίσιν αὐτῶν Ἀθηναῖοι δέκα ἄνδρας, ὧν καὶ Λάμπων ἦν ὁ μάντις ἐξηγητὴς ἐσόμενος τῆς κτίσεως τῆς πόλεως. EM

book 332a beta ἀπὸ τοῦ γενικοῦ προῆλθεν εἰς τὰ ἰδικά. V τοὺς εἰς Θούριον πεμφθέντας, πόλιν Σικελίας, παρὰ Ἀθηναίων ἐπὶ τῷ κτίσαι αὐτήν. V

book 332b ἔοικε πρὸς Λάμπωνα ἀποτείνεσθαι τὸν μάντιν, ὃν καὶ ἐξηγητὴν ἐκάλουν. ἦν δὲ καὶ τῶν πολιτευομένων πολλάκις. λόγους δὲ συνεχῶς εἰσάγειν ἐφαίνετο περὶ τῆς εἰς Θουρίους ἀποικίας τῆς Ἰταλίας, οἱ δὲ θουριομάντεις διὰ 〈τοῦτο ὑπὸ τῶν Νεφελῶν τρέφεσθαι λέγονται, ὅτι εἰώθασι διὰ〉 τῶν οἰωνῶν ἀπαγγέλλειν· ἀπαγγέλλονται γὰρ ἀφορῶντες εἰς τὸν ἀέρα. E

book 332c ὡς πολλῶν γενομένων μαντειῶν ἐπὶ τῆς εἰς Θουρίους ἀποικίας. τούτους δὲ ἔφη τρέφεσθαι ἐκ τῶν Νεφελῶν ὡς διὰ τῶν οἰωνῶν τῶν ἐν τῷ ἀέρι μαντευομένους καὶ εἰς τὸν οὐρανὸν καὶ τὰ νέφη ἀποβλέποντας. REM

book 332d

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θουριομάντεις N: Θούριον πόλις Ἰταλίας. EN

book 332e ἰατροτέχνας: καὶ ἰατροὶ περὶ ἀέρων καὶ ὕδατος συνέγραψαν, ὕδατα δέ εἰσι 〈καὶ〉 αἱ νεφέλαι. σύνταγμα γοῦν ἐστιν Ἱπποκράτους περὶ ἀέρων, τόπων καὶ ὑδάτων. E

book 332f σφραγιδονυχαργοκομήτας EM: τοὺς κόμῃ καὶ περιττοῖς δακτυλίοις τὰς χεῖρας κοσμουμένους μέχρι τῶν ὀνύχων, RVEM ὡς ὑπὸ τῶν δακτυλίων σκέπεσθαι. VE

book 332g τῶν ὀνύχων ἐπιμελουμένους VEMatr καὶ ὁσημέραι ξύοντας αὐτοὺς ὑπὲρ τοῦ ἐκλάμπειν ἄγαν· ὃ πάσχουσιν οἱ τῷ καλλωπίζεσθαι σχολάζοντες μόνως. VEM

book 333a κυκλίων τε χορῶν: εἰς τοὺς περὶ Κινησίαν καὶ Φιλόξενον καὶ Κλεομένην. EM

book 333b καὶ τούτους εἶναι τῶν σοφιστῶν βούλεται. VE λέγει δὲ τοὺς διθυραμβοποιούς· τῶν γὰρ κυκλίων χορῶν ἦσαν οὗτοι διδάσκαλοι. VEM

book 333c ᾀσματοκάμπτας EM: διὰ τὸ ἐναρμονίοις ὑποπίπτειν αὐτῶν τὰ συγγράμματα VEM καμπὰς ἔχουσι πλείονας, ἃς οἱ μουσικοὶ καλοῦσι στροφὰς καὶ ἀντιστρόφους καὶ ἐπῳδούς, δι’ ὧν καὶ ἐν ταῖς τραγῳδίαις συνειστήκει τὰ χορικά. VE

book 333d οἱ παλαιοὶ διαφθορὰν μουσικῆς ἡγοῦντο τοὺς διθυράμβους. καὶ προελθὼν αὐτῶν μᾶλλον καθάψεται λέγων εἰ δέ τις αὐτῶν βωμολοχεύσαιτ’ ἢ κάμψειέν τινα καμπήν, οἵας οἱ νῦν 〈τὰς κατὰ Φρῦνιν〉 ταύτας τὰς δυσκολοκάμπτους, ἐπετρίβετο τυπτόμενος πολλὰς ὡς τὰς Μούσας ἀφανίζων. καὶ Καλλίμαχος πρὸς αὐτοὺς ἀποτεινόμενος οὕτω πως αὐτῶν καθάπτεται 〈νόθαι δ’ ἤνθησαν ἀοιδαί〉. V

book 333e ᾀσματοκάμπτας: τοὺς διθυραμβο〈ποιο〉ύς, ἐπεὶ καμπὰς τὰς περιόδους λέγουσιν. RV

book 333f μετεωροφένακας: τοὺς διὰ τῶν μετεώρων ἀπατῶντας· REM φενακίζειν γὰρ τὸ ἀπατᾶν. RE περὶ δὲ τῶν φιλοσόφων λέγει. REM

book 333g μετεωροφένακας] τοὺς μεταρσιολέσχας. E

book 334a ταύτας] τὰς νεφέλας. E

book 334b μουσοποιοῦσι] ᾄδουσι τοῖς μέλεσιν. E

book 335a ταῦτ’ ἄρ’ EM ἐποίουν E: λείπει ἡ RVEM διά. RVEbisNMbis

book 335b 335] μιμεῖται τοὺς διθυράμβους. VE

book 335c alpha ταῦτα εἰς Φιλόξενον τὸν διθυραμβοποιόν· ENM τὸ γὰρ “στρεπταίγλαν” αὐτὸς εἶπεν. EN

book 335c beta εἰς Φιλόξενον τὸν διθυραμβο〈ποιὸ〉ν ἀποτείνεται· ἐκεῖνος γὰρ πρῶτος τῇ λέξει ἐχρήσατο. A

book 335c gamma τοῦτο Φιλόξενος ὁ διθυραμβοποιὸς εἶπεν ἐν διθυράμβῳ τινί. V

book 335c ἐπεὶ οὖν συνθέτοις καὶ πολυπλόκοις οἱ διθυραμβοποιοὶ χρῶνται λέξεσιν, κατὰ τὸν ἐκείνων ζῆλον καὶ αὐτὸς τοιαύταις χρῆται· χρῆται δ’ οὖν ἄντικρυς τό〈πων〉 ἐξεστραμμέναις. VEN

book 335d alpha καὶ ταῦτα λέγει εἰς τὴν ἀηδίαν τούτων ἐν τοῖς συνθέτοις. RMatr

book 335d beta διὰ τὴν ἀηδίαν ἐκείνων. V

book 335e στρεπταίγλαν V: τὴν στρέφουσαν καὶ ἀφανίζουσαν τὴν αἴγλην. RVNMAMatr

book 335f στρεπταίγλαν NM: τὴν ἔμπροσθεν οὖσαν τῆς αἴγλης τοῦ ἡλίου ENMMatr καὶ σκοτίζουσαν. E

book 336a Τυφῶ] ἀνέμω. E

book 336b πρημαινούσας RE τε θυέλλας E: συστροφὴ ἀνέμου ἡ θύελλα. “πρημαινούσας” δὲ RE ἀντὶ τοῦ E μαινομένας καὶ λάβρως φυσώσας. πρῆσαι γὰρ τὸ φυσῆσαι· RVE Ὅμηρος ἐν δ’ ἄνεμος πρῆσεν RV μέσον ἱστίον. R

book 337a διεράς R: τὰς RV διύγρους. RVENM

book 337b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γαμψοὺς: ἤτοι τὰς καμπτούσας πλαγίως νεφέλας, ἢ τὰς ὀρνίθων ὄψεσιν εἰκασμένας· γαμψοὺς γὰρ ἐκάλουν τοὺς ὄρνις. αὐτίκα γοῦν RE καὶ αὐτὸς τῷ “γαμψοὺς” “οἰωνοὺς” E ἐπήγαγεν. RE Ὅμηρος οἰωνοῖσί τε πᾶσι. E

book 337c ἀερονηχεῖς VE: τὰς ἐν τῷ ἀέρι νηχομένας, RVEM παρόσον ἐν αὐτῷ νήχεται τὰ ὄρνεα, ἢ δίκην ὀρνέων ἵπτανται αἱ νεφέλαι. E

book 338 εἶτ’ ἀντ’ αὐτῶν EM κατέπινον: τουτέστιν ἀντὶ τούτων E τῶν ᾀσμάτων, EMbis ὧν ἐποίουν EM εἰς τὰς νεφέλας. διὰ τοῦτο E ἤσθιον EMA τοὺς κεστρέας καὶ τὰ ὀρνίθεια πάντα. EM

book 339a alpha ἰστέον, ὅτι οὐχ οἱ αὐτοὶ τοῖς κεστρεῦσιν ἰχθύσιν αἱ κεστρέαι, ἀλλ’ οἱ μὲν τὰς μυραίνας κεστρέας ἀξιοῦσι καλεῖν, οἱ δὲ οὐ ταύτας, ἀλλά τι διάφορον ἄλλο γένος ἰχθύων. νῦν μέντοι κεστρεῖς καλοῦμεν τοὺς κεφάλους. E

book 339a beta κεστρὰς δὲ καλοῦσιν ἰχθῦς τοὺς κεφάλους. V

book 339b ἐπὶ ἰχθύων τὸ τέμαχος καὶ πλακοῦντος, ἐπὶ δὲ κρεῶν οὐκέτι. E

book 339c μεγάλαν ἀγαθᾶν: τουτέστι E τιμίων Ebis καὶ λαμπρῶν. E

book 339d alpha καταχρηστικῶς ἐπὶ ὀρνέων “κρέα” εἶπεν. VE τόπων δὲ μέμνηται τῶν ᾠκειωμένων νεφέλαις, ὑδάτων καὶ ἀέρων. E

book 339d beta ὅτι καταχρηστικῶς κρέα καλεῖται καὶ τὰ ὀρνίθεια. βέλτιον μέντοι ὑφ’ ἓν ἀναγινώσκειν κρεατορνίθεια, ἵνα VE μόνον V ὁ ποιητὴς μνημονεύειν δοκῇ τῶν ταῖς νεφέλαις προσῳκειωμένων, τῶν τε ἐνύδρων καὶ τῶν πτηνῶν. VE

book 339e κιχηλᾶν: ἀντὶ τοῦ V “κιχλῶν” VEM δηλονότι. V

book 339f ἐδώρισε μιμούμενος τοὺς διθυράμβους. VE

book 339g alpha τὸ ὅλον τείνει πρός τε τοὺς παρὰ τοῖς χορηγοῖς ἑστιωμένους καὶ πρὸς τοὺς ἐν πρυτανείῳ ἀεὶ δειπνοῦντας. E

book 339g beta τοῦτο εἰς τοὺς εὐωχουμένους ἐν πρυτανείῳ τείνει καὶ πρὸς τοὺς ἑστιωμένους παρὰ τοῖς χορηγοῖς. V

book 339h ταῦτά φησιν, ἐπεὶ ἐν πρυτανείῳ τινὲς αὐτῶν ἐσιτοῦντο καὶ τῶν χρησμολόγων καὶ τῶν μάντεων. E

book 340 διὰ μέντοι τάσδ’ οὐχὶ δικαίως: οὐ δικαίως, φησίν, ἠξιοῦντο τῆς τιμῆς καὶ τῶν δείπνων. ἄλλως. διὰ ταῦτα τὰ εἰς τὰς νεφέλας ὑπ’ αὐτῶν γραφόμενα· οὐδὲν γὰρ ἀξιόλογον ἐποίουν. E

book 342a οὐ γὰρ ἐκεῖναι: ὡς δὴ ὁρῶν αὐτὰς ἐπὶ τῆς σκηνῆς λέγει. E

book 342b ἐκεῖναι] αἱ νεφέλαι. RVE

book 342c ποῖαι γάρ τινες] αἱ νεφέλαι. E

book 343a εἴξασιν E: ἐοίκασι, RVEMatr ὡμοίωνται· VENbisA ἀπὸ τοῦ εἴκω, VE τὸ ὁμοιῶ. E

book 343b ἐρίοισι πεπταμένοισι E: τοιοῦτον γὰρ ἔσθ’ ὅτε τῶν νεφελῶν τὸ εἶδος. VE

book 344a κοὐχὶ γυναιξίν: ἀντὶ τοῦ “γυναιξὶ δὲ οὐδὲ κατὰ μικρὸν οὐδὲ κατ’ ὀλίγον”. E

book 344b αὗται δέ γε ῥῖνας EM ἔχουσιν E: εἰσεληλύθασιν οἱ χορευταὶ προσωπεῖα περικείμενοι μεγάλας ἔχοντα ῥῖνας VEM καὶ ἄλλως V γελοῖα καὶ ἀσχήμονα. διόπερ φησὶν εἰκὸς αὐτὰς μὴ ἑωρακέναι, διὰ τὸ μὴ νεφελῶν, ἀλλὰ γυναικῶν ὄψεις ἔχειν· ὃ τὴν ἀγνωσίαν αὐτῷ παρεῖχεν. VEM δῆλον οὖν, ὅτι ὁπόσα ἐν τοῖς ἄνω λέλεκται χορικὰ οὐκ ἐπὶ τῆς σκηνῆς ὄντος εἴρηται τοῦ χοροῦ, ἀλλ’ ἔξω ἑστῶτος καὶ κρυπτομένου ἡ φωνὴ μόνη τοῖς ἔνδον ἐξηκούετο. οὐ γὰρ ἠδύναντο ἐντὸς εἶναι τῆς σκηνῆς αἱ μὴ καταπτᾶσαι μηδέπω. VE προειρήκαμεν δὲ τὸν χορὸν ἐκ Νεφελῶν εἶναι. E

book 345

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπόκριναί: ἀποκρίθητί μοι πρὸς ὃ ἄν σου πυνθάνωμαι. E

book 346 ἤδη ποτ᾽ ἀναβλέψας M: τὸ συμβαῖνον VEM γίνεσθαι EM περὶ τὰς νεφέλας διηγεῖται. πολλὰ γάρ εἰσι νέφη παρομοιούμενα ζῴοις VEM τισὶν V ἢ φυτοῖς ἢ ἀνθρωποειδῆ γινόμενα VEM ἢ ἄλλην τινὰ τοιαύτης ὄψεως ἀποπέμποντα εἰκόνα. φησὶν οὖν· οὐ χρή σε θαυμάζειν, εἰ αἱ Νεφέλαι γυναικῶν ἔχουσι μορφάς· καὶ γὰρ ἐν τῷ οὐρανῷ πολλὰς ἔχουσι μορφάς. VE

book 347 ἢ παρδάλει ἢ λύκῳ E: τούτων ἐμνημόνευσε μόνον, δι᾽ ὧν λοιδορῆσαί τινας τῶν πολιτευομένων βούλεται. VE

book 348 κᾆτ᾽ ἢν μὲν ἴδωσι κομήτην M: Κλεῖτον λέγει, ὃς ἦν ἐπὶ κόμῃ σκωπτόμενος. οἱ δὲ Ἱερώνυμον. EM

book 349a ἀγρίους RVE καὶ κολλοποδιώκτας VE ἐκάλουν τοὺς RVE τὰς ἀπηγριωμένας πράξεις ποιοῦντας, τοὺς E παιδεραστάς. RVE

book 349b οἷόνπερ τὸν Ξενοφάντου REM: Ἱερώνυμον λέγει REMMatr τὸν διθυραμβοποιόν, ὃς Ξενοφάντου μὲν ἦν παῖς, περὶ δὲ παῖδας ἄγαν ἐπτόητο, REM λάσιον δὲ εἶχε τὸ σῶμα. ἐπεὶ οὖν καὶ οἱ Ἱπποκένταυροι λάσιον εἶχον τοῦ σώματος τὸ τῶν ἵππων μέρος, RE ὥστε καὶ ὁ πρὸς τοὺς Λαπίθας πόλεμος δι᾽ ἀκρασίαν ἔρωτος αὐτοῖς συνέστη, εὐλόγως ἐπὶ ἐρωμανέσιν ἐξομοιούσας τὰς Νεφέλας αὑτὰς τῇ τῶν κενταύρων ἰδέᾳ παρήγαγεν. E

book 349c τὸν Ξενοφάντου: κομήτης ὢν καὶ ὡς καταπύγων καὶ τρυφηλὸς κωμῳδεῖται. M

book 351a τί γάρ, ἢν ἅρπαγα τῶν δημοσίων E κατίδωσι Σίμωνα M: οὗτος κεκωμῴδηται παρὰ Ἀριστοφάνει ὡς χρεωφειλέτης. EM τίνι, φησίν, αἱ Νεφέλαι πάλιν ἑαυτὰς ἀπεικάσειαν, ἐὰν ἀφομοιώσασθαι θέλωσιν ἑαυτὰς Σίμωνι διαρπάζοντι καὶ νοσφιζομένῳ τὰ κοινά; E

book 351b κατίδωσι Σίμωνα R: σοφιστὴς ὁ Σίμων ἦν καὶ τῶν ἐν τῇ πολιτείᾳ διαπρεπόντων τότε καὶ πάντως τῶν δημοσίων τι ἐνοσφίσατο χρημάτων. RVE μνημονεύει δὲ αὐτοῦ καὶ Εὔπολις ἐν Πόλεσι διαβάλλων αὐτὸν ἐπὶ τοῖς αὐτοῖς ἐγκλήμασιν, RE ἐν τούτοις ἐξ Ἡρακλείας ἀργύριον ὑφείλετο. E

book 353a alpha ταῦτ᾽ ἄρα ταῦτα EM Κλεώνυμον REM αὗται R: τοῦτον ὡς δειλὸν καὶ ἐπὶ τῆς τάξεως ῥίψαντα τὴν ἀσπίδα οἵ τε ἄλλοι κωμῳδοὶ διαβάλλουσι EM πάντες καὶ ἐν τοῖς Σφηξὶν αὐτός. EM

book 353a beta ὡς δειλὸς ἐν πολλοῖς κωμῳδεῖται. VEM

book 353b alpha τὸ "χθὲς" προσέθηκεν ὡς ὑπόγυον τοῦ Κλεωνύμου ῥιψάσπιδος γενομένου τῷ καιρῷ χρώμενος εἰς αἰσχύνην τοῦ δεδρακότος· πλείονα γὰρ τὴν συμφορὰν τὰ ὑπόγυα ἔχει πταίσματα. RE

book 353b beta ἐξ ὑπογύου τὸ ὄνειδος, ὅπερ ἔχει μεγίστην τὴν κατηγορίαν. M

book 354 δειλότατον γὰρ τὸ τῶν ἐλάφων γένος. καὶ Ὅμηρος κραδίην δ᾽ ἐλάφοιο. RV

book 355a καὶ νῦν E ὅτι Κλεισθένη EM εἶδον M: καὶ νῦν, RVEM φησί, EM διὰ τὸν Κλεισθένη ἐγένοντο γυναῖκες· οὗτος γὰρ ἐπὶ κιναιδίᾳ διαβάλλεται. RVEM

book 355b τοῦτον ὡς γυναικιζόμενον οὐκ Ἀριστοφάνης διαβάλλει μόνον, ἀλλὰ καὶ Κρατῖνος ἐν Πυτίνῃ λέγων οὕτως ληρεῖς ἔχων· γράφ᾽ αὐτὸς ἐν ἐπεισοδίῳ· γελοῖος ἔσται Κλεισθένης κυβεύων ἐν τῇ τοῦ κάλλους ἀκμῇ. τοῦτον ἰδοῦσαι, φησίν, αἱ Νεφέλαι εἰς γυναῖκας μετεμόρφωσαν ἑαυτάς. E

book 358a χαῖρ᾽ ὦ πρεσβῦτα RE: νῦν οὐχ ὡς σεμνόν τινα προσηγόρευσαν RVE αὐτὸν RV διὰ τὸν χρόνον, ἀλλ᾽ ὡς ἀνόητον· τοὺς γὰρ εὐήθεις ἀρχαίους καὶ παλαιοὺς ἔλεγον. RVE 〈καὶ Εὐριπίδης ἀρχαῖον εἴρηκας ἀντὶ τοῦ "εὔηθες". εὐεργετῆσαι γὰρ τὸ σῶμ᾽ οὐ βούλομαι.〉 Su.

book 358b ἐξήγησις τοῦ "πρεσβῦτα" RVE τὸ "παλαιογενές". RV

book 358c θηρατὰ λόγων: ἀντὶ τοῦ "ἰχνευτὰ λόγων" ἢ "ζηλωτὰ" ἢ "μετιὼν λόγους". E

book 358d θηρατὰ] ἐπιθυμητά. RVE

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 359a alpha σύ τε] πρὸς τὸν Σωκράτην. E

book 359a beta Σωκράτει λέγουσιν. E

book 359a gamma ἱερεῦ Σώκρατες. M

book 359b λεπτοτάτων λήρων: ἀντὶ τοῦ EM “συνετωτάτων RVEbisMbis καὶ δυσπαρακολουθήτων EM λόγων”. RVEbisMbis

book 359c ὅ τι χρῄζεις: ὅ τι βούλοιο. E

book 361a πλὴν E ἢ Προδίκῳ: σοφιστὴς ὁ Πρόδικος, EM Κεῖος τὸ γένος. ἤκμασε δὲ κατὰ τοὺς χρόνους Σωκράτους. πρῶτος δὲ οὗτος τὴν πεντηκοντάδραχμον ἐπίδειξιν ἐποιήσατο. VEM μνημονεύει δὲ αὐτοῦ καὶ Πλάτων ἐν τῷ Πρωταγόρᾳ καὶ Ξενοφῶν ἐν τοῖς Ἀπομνημονεύμασιν, οὐ μὴν ἀλλὰ καὶ Ἀριστοφάνης ἐν Ταγηνισταῖς οὕτως· τὸν ἄνδρα τοῦτον ἢ βιβλίον διέφθορεν ἢ Πρόδικος ἢ τῶν ἀδολεσχῶν εἷς γέ τις. διαβάλλει δὲ αὐτὸν καὶ ἐν Ὄρνισιν οὕτως· παρ’ ἐμοῦ Προδίκῳ κλάειν εἴπητε τὸ λοιπόν.

book 361a διδάσκαλος δὲ ἦν οὗτος VE καὶ Θηραμένους V τοῦ ἐπικαλουμένου κοθόρνου, ὃς τῆς τῶν τριάκοντα τυραννίδος μετέσχεν. κόθορνος δὲ ἐκαλεῖτο VE οὗτος, V ἐπεὶ καὶ τοῖς τριάκοντα συνέσπευδε καὶ τῷ δήμῳ. καὶ γὰρ ὁ κόθορνος τὸ ὑπόδημα ἀμφοτέροις ἁρμόζει τοῖς ποσίν. φέρεται δὲ καὶ Προδίκου βιβλίον ἐπιγραφόμενον Ὧραι, ἐν ᾧ πεποίηκε τὸν Ἡρακλέα τῇ Ἀρετῇ καὶ τῇ Κακίᾳ συντυγχάνοντα· καὶ καλούσης ἑκατέρας ἐπὶ τὰ ἤθη αὑτῆς προσκλῖναι τῇ Ἀρετῇ τὸν Ἡρακλέα καὶ τοὺς ἐκείνης ἱδρῶτας προκρῖναι τῶν προσκαίρων τῆς Κακίας ἡδονῶν. VE

book 361b ἐπὶ καθαιρέσει Σωκράτους τὸν Πρόδικον νῦν μέγαν ἀποφαίνει διαφόρως. οὗτος δὲ σοφιστὴς ἦν μετεωρολόγος. RVE ἐπὶ κιναιδίᾳ δὲ διεβάλλετο. E

book 361c 〈... ὁ γὰρ Ἀριστοφάνης οὐ φιλῶν τὸν Πρόδικον ταῦτά φησιν, ὅσον μισῶν Σωκράτην· ἐν γὰρ τοῖς Ὄρνισι διαλοιδορεῖται Προδίκῳ.〉 Su. II 64, 23

book 361d πλὴν ἢ Προδίκῳ: πλὴν μόνου Προδίκου. R

book 362a ὅτι βρενθύει τ’ EM: ἀποσεμνύνεις σεαυτὸν τῷ σχήματι καὶ REMbis ταυρηδὸν ὁρᾷς. RVEMbis

book 362b ὅτι βρενθύει τ’ R: σεμνύνῃ καὶ RVE μέγα φρονεῖς. RVENA οἱ γὰρ ἀποδεδωκότες ἑαυτοῖς σοβαρῶς πεφύκασι βαδίζειν. ὡς τοῦ μὲν Προδίκου ὄντος σοφοῦ, τοῦ δὲ Σωκράτους κενὴν μόνον δόξαν ἐπὶ σοφίᾳ καρπουμένου. VE

book 362c βρενθύει(superscr. η)] κομπάζεις. E

book 362d τοῖς ὀφθαλμοῖς E ὑποβλέπεις EA καὶ ὑφορᾷς. E

book 363a οὕτω γὰρ ἐβάδιζε καὶ Σωκράτης. καὶ Πλάτων 〈...〉 E

book 363b σεμνοπροσωπεῖς REM: ... ἀπὸ τῶν ὀφθαλμῶν EM σεμνὴν τὴν ὄψιν ἔχεις. εἰσὶ γὰρ ἀνθρώπων τινὲς τοιοῦτοι, σεμνοὶ μὲν φανῆναι, οὐ μὴν κατὰ τὴν πρόσοψιν ἔχοντες καὶ τὰ ἐπιτηδεύματα. REM

book 365 ἀντὶ τοῦ “φλήναφος RE καὶ μάταιος λόγος E καὶ λῆρος”. RE

book 367a οὔ μὴ ληρήσῃς] οὐ παύσῃ φλυαρῶν; E

book 367b οὔ· μὴ ληρήσεις] μὴ φλυαρεῖς. R 〈V〉

book 370 ὕοντ’] αὐτόν. E

book 371a καίτοι χρῆν αἰθρίας EN αὐτὸν ὕειν E: εἰ τὸ βρέχειν ἦν, φησίν, ἐπὶ τῇ τοῦ Διὸς ἐξουσίᾳ, καὶ μὴ τῶν Νεφελῶν ἦν τοῦτο ἔργον, ἐχρῆν αὐτὸν καθ’ ἑαυτὸν ὕειν ἄνευ Νεφελῶν. RVE

book 371b δοκεῖ τῆς κατὰ Μύσκελλον ἱστορίας ἔχεσθαι τὸ λεχθέν. Μυσκέλλῳ γάρ φασι χρησμὸν δοθῆναι κτίσαι πόλιν, ὅπου ἂν αὐτὸν ἐξ αἰθρίας ὑετὸς λάβῃ. ὁ δὲ ᾤετο οὐκ ἄν ποτε ὑπ’ αὐτοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κτισθήσεσθαι πόλιν διὰ τὸ ἀδύνατον τοῦ χρησμοῦ. γενομένου δὲ αὐτοῦ περὶ τὴν Ἰταλίαν καὶ ἀμηχανοῦντος περὶ τὴν κτίσιν παρακαθίσασαν τὴν παλλακίδα δακρύειν ὀδυρομένην 〈τὰς πλάνας· καί πως ἐνεχθῆναι τὰ δάκρυα τῆς Αἰθρίας—οὕτω γὰρ ὠνομάζετο—κατὰ τοὺς Μυσκέλλου χρησμούς.〉 καὶ τέλος εἰληφέναι νομίσας τὸ χρηστήριον εὐθὺς ἔκτισε πόλιν. ENA

book 371c αἰθρίαν ἐν ἐκτάσει καὶ ἐν τοῖς ἔμπροσθεν παρετηροῦμεν. R

book 371d αἰθρίας] οὔσης. E

book 371e ἀποδημεῖν] ἀντὶ τοῦ “μὴ παρεῖναι”. RVE

book 372 προσέφυσας] προσήρμοσας. RVENMMatr

book 374a κατὰ ἀναδιπλασιασμόν. RVE

book 374b ἀντὶ τοῦ “φρίττειν καὶ δεδιέναι”. τὸ γὰρ τρέμειν καὶ πάλλεσθαι τὸ σῶμα τῶν ἄγαν εὐλαβουμένων ἐστίν. E

book 374c ἀντὶ τοῦ “φοβεῖσθαι καὶ V τρέμειν”. RVM

book 375a κυλινδούμεναι E: ἀντὶ τοῦ “κυλιόμεναι καὶ εἰς ἀλλήλας συστρεφόμεναι”. REM

book 375b τῷ τρόπῳ] τίνα τρόπον. E

book 375c ὦ πάντα σὺ τολμῶν: ἀντὶ τοῦ R “ὦ RVE τολμηρότατε καὶ RE θρασύτατε”. RVE

book 377a κρημνάμεναι: ἀντὶ τοῦ “κρεμάμεναι ἀπὸ τοῦ ἀέρος”. REM

book 377b οἷον ἐπικρεμάμεναι ἀλλήλαις REM καὶ ἐπιβαροῦσαι. EM

book 377c τὸ “εἶτα” περισσόν. E

book 378a καὶ παταγοῦσιν E: ἠχοῦσιν. RVENM καὶ Ὅμηρος πάταγος δέ τε διὰ στόμα γίνετ’ ὀδόντων. VE

book 378b 〈παταγοῦσι: ψοφοῦσιν.〉 Su. IV 66, 18

book 379 οὐχ ὁ Ζεὺς] οὐχὶ RE ὁ Ζεύς. E

book 380a αἰθέριος δῖνος E: καὶ τοῦτο ἐθρυλεῖτο παρὰ τοῖς φυσικοῖς. E

book 380b αἰθέριος δῖνος R: ἡ περιδίνησις ἡ αἰθερία. RVE ταῦτα δὲ ἐκ τῶν ἀναξαγορείων λαμβάνει. VE

book 380c δῖνος] συστροφή. EM

book 381 ἀλλ’ ἀντ’ αὐτοῦ E Δῖνος EM: ἐγγύθεν ἔλαβεν ἀπὸ τοῦ Διός, ὥσπερ εἰ ἔλεγε μὴ βασιλεύειν τὸν Δία, ἀλλὰ Δῖνον. οὐχ ὅτι τὴν δίνησιν ὑποβάλλων ἐκ τούτου “Δῖνος” εἶπεν, ἀλλὰ E κεραμεοῦν ἐστι βαθὺ ποτήριον, ὃ καλεῖται δῖνος. τὸ γὰρ γελοῖον ἐκ τούτου εἰς τὴν τοῦ Δῖνος παρείληφε διάνοιαν. EM

book 383 τὸ “φημὶ” πρὸς τὰς Νεφέλας. RVE

book 385a ἄγε ἢ λέγε. R

book 385b τῷ] τίνι. RN

book 385c ἀπὸ σαυτοῦ ’γώ σε διδάξω: εἰς τὸ “σαυτοῦ” τελείαν στικτέον, ἐπεὶ συνθετόν ἐστι καὶ ἀμετάβατόν ἐστιν ὑφ’ ἓν λέγουσιν. E

book 385d ἀπὸ σαυτοῦ] ἀπὸ σοῦ αὐτοῦ. RVE

book 385e ’γώ σε] ἐγώ σε. V

book 386a alpha ἤδη ζωμοῦ Παναθηναίοις R: ἤδη ποτ’ ἐν τοῖς Παναθηναίοις ἐκόρεσάς σου ζωμοῦ τὴν γαστέρα; τὰ δὲ Παναθήναια ἑορτὴν παρ’ Ἀθηναίοις εἶναι μεγίστην προείρηται. ἐπεὶ οὖν ἐν τοῖς Παναθηναίοις πᾶσαι αἱ ἀπὸ τῶν Ἀθηνῶν ἀποικισθεῖσαι πόλεις βοῦν τυθησόμενον ἔπεμπον, συνέβαινεν ἄδειαν εἶναι τῶν κρεῶν, ὥστε πληροῦσθαι πάντας καὶ παρὰ τὸ δέον ἐσθίοντας διὰ τὴν ἀφθονίαν τῶν κρεῶν. RVE

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 386a ἤδη ζωμοῦ Παναθηναίοις: ἐν τοῖς Παναθηναίοις αἱ ἄποικοι πᾶσαι Ἀθηναίων πόλεις ἔπεμπον βοῦς. ὅθεν ἡ δαψίλεια τῶν κρεῶν. E

book 386b εἶτ’ ἐταράχθης τὴν γαστέρα: εἶτα συνέβη κινηθῆναι καὶ διαταραχθῆναι τὴν γαστέρα. E

book 387a καὶ κλόνος EM ἐξαίφνης E: καὶ στρόφος τις καὶ ἴλιγξ ENM αὐτῇ συνέπεσεν. EM

book 387b διεκορκορύγησε E: κορκορυγεῖν τὸ τὴν γαστέρα λαλεῖν μόνον· ἢ. RVEM

book 387c ἐμιμήσατο τῇ φωνῇ τῶν ἐντέρων τὸν ἦχον. VEM

book 390 ἀτρέμας E: ἐκ τοῦ κατ’ ὀλίγον, φησίν, RE αὔξει τὸν ἦχον. E

book 391 κομιδῇ: ἐναργῶς βροντᾷ τὸ λοιπόν. E

book 392a σκέψαι τοίνυν R: ὅτε ἔλαβεν ὁμολογοῦντα τὸν πρεσβύτην, τότε προσάγειν αὐτὸν ἐπεχείρει τῇ συγκρίσει· καί φησι· θαυμάζεις, εἰ βροντῶσιν αἱ Νεφέλαι πάντα κατέχουσαι τὸν οὐρανόν, ὅτε ἀπὸ μικρᾶς οὕτω τῆς σῆς κοιλίας τοσοῦτος ἦχος ἀπὸ τῶν πορδῶν γίνεται; RVE

book 392b τυννουτουὶ REMpr.: ποσόν. EMpr. συνάγων δὲ αὐτοῦ τοὺς δακτύλους λέγει. REMpr. ἀντὶ τοῦ “μικροῦ”. REbisMalt.Matr τύννον γὰρ τὸ μικρόν. EMpr..

book 394a ταῦτ’ ἄρα E καὶ τὼ ’νόματ’ ἀλλήλοιν EM: διὰ τοῦτο καὶ τὰ ὀνόματα ἀλλήλοις εἰσὶ προσφερῆ καὶ ὅμοια τῆς βροντῆς καὶ τῆς πορδῆς. REM

book 394b τὼ ’νόματ’ R: δυικῶς ἔκλινεν. REM

book 394c βροντὴ καὶ πορδή: πρὸς τὸ ὁμοιοκατάληκτον ἔπαιξεν. E

book 396a οὓς μὲν καταίθει, οὓς δὲ ζῶντας RV περιφλέγει. RVE

book 396b λέγεται γάρ, ὅτι πολλάκις ὁ κεραυνὸς ἁψάμενος οὐκ ἀναιρεῖ, ἀλλὰ περιφλέγει. E

book 397 ἀφίησιν, ἐπιπέμπει. R

book 398a καὶ N Κρονίων ὄζων: οἷον ἀρχαϊκῆς εὐηθείας ὀδωδώς. ἔστι δὲ Κρόνια παρὰ τοῖς Ἕλλησιν ἑορτή, REN τὰ παρὰ τοῖς Ῥωμαίοις καλούμενα Σατουρνάλια, ἢ Ἀπατούρια. EN ἤγετο δὲ ἑκατομβαιῶνι μηνί. καὶ Κρόνους τοὺς λήρους ἐκάλουν. R

book 398b Ψαμμήτιχος Αἰγύπτου βασιλεύσας ἠθέλησεν ἐπιγνῶναι, τίνες πάντων ἀνθρώπων πρεσβύτεροι καὶ πρῶτοι γένοιντο. ὡς δὲ πάντα πολυπραγμονῶν οὐχ οἷός τε ἦν ἀνευρεῖν τὸ ἀκριβὲς διὰ τὸ πολλοὺς περὶ τούτου φιλονεικεῖν, μηχανᾶταί 〈τι〉 τοιοῦτον. λαβὼν 〈ἀρτίτοκα〉 δύο παιδία εἰς οἴκημα κατέκλεισεν ἀνακεχωρηκὸς παντάπασι. καὶ οἱ μὲν λέγουσιν, ὡς αἶγας ὑπέπεμπεν αὐτοῖς, ἃς θηλάζοντα ἐτρέφετο τὰ παιδία· οἱ δέ, ὡς τροφοὺς παρέστησε τὰς γλώττας αὐτῶν ἐκτεμών, ὥστε τῆς φωνῆς αὐτῶν μὴ ἀκούειν τὰ παιδία. ταῦτα δὲ Ψαμμήτιχος ἐποίει βουλόμενος εἰδέναι, τίνα ποτὲ τὰ παιδία πρώτην προήσουσι τὴν φωνὴν ἀπαλλαγέντα τῶν ἀσήμων κνυζημάτων. ὡς οὖν τριετὴς αὐτοῖς διεγεγόνει χρόνος τοιαύτης τροφῆς, εἰσέπεμψεν εἰς τὸν οἶκόν τινα τῶν φίλων ἐντειλάμενος σιωπῇ παρελθεῖν. τοῦ δὲ ἀνεῴξαντος τὰς θύρας ὀρέγοντα τὰς χεῖρας τὰ παιδία “βόκος” ἐκάλουν. Φρύγας δέ φασι τὸν ἄρτον οὕτως καλεῖν. καὶ οὕτως μὲν Ψαμμήτιχον εὑρεῖν καὶ πιστεῦσαι πρώτους γεγονέναι Φρύγας· ἐνταῦθα δὲ ἡ λέξις σημαίνει τὸ “ἀρχαῖε καὶ ἀνόητε”. V

book 398c βεκκεσέληνε E: Σεσόγχωσις ὁ τῶν Αἰγυπτίων βασιλεὺς κοσμοκράτωρ γεγονὼς ἠθέλησε γνῶναι τοὺς ἀρχαιοτέρους τῶν ἀνθρώπων. καὶ τροφόν τινα γλωττοτομήσας ἀπέκλεισε μετὰ βρέφους. αὐξηθέντος οὖν καὶ βοῶντος “βέκ” ἤκουσε καὶ ἔγνω ὁ βασιλεύς, ὅτι ἀρχαιότεροι ἦσαν οἱ Παφλαγόνες· παρ’ αὐτοῖς γὰρ ὁ ἄρτος βὲκ λέγεται. συνθέτως δὲ εἶπε τὴν λέξιν “βεκκεσέληνε”, ἐπεὶ καὶ οἱ Ἀρκάδες προσέληνοι ἐλέγοντο. καὶ ἁπλῶς ἡ λέξις ἀρχαϊσμὸν σημαίνει. ENp

book 398d ἀντὶ τοῦ “ἀρχαῖε καὶ μωρέ”· —τοὺς γὰρ ἀρχαίους μωροὺς ἐκάλουν— ἀπὸ ἱστορίας τοὺς Ἀρκάδας κατὰ τοὺς προσελήνους χρόνους ἐν ταῖς ἐρήμοις διάγειν, ἢ ὑπὸ ταῖς ἐρήμοις, καὶ ἐκ τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀποπιπτόντων καρπῶν διαζῆν. φιλονεικησάντων δέ ποτε Ἀρκάδων καὶ τῶν Φρυγῶν καὶ Περσῶν περὶ τῆς ἀρχαιότητος καὶ εἰς κρίσιν ἐλθόντων Ψαμμήτιχος ὁ βασιλεὺς Αἰγύπτου λαβὼν δύο ἀρτίτοκα παιδία ἔν τινι ἀπέκλεισε τόπῳ, καὶ αἶγα ἐποίησε ταῦτα θηλάζειν. ἄλλοι δέ φασιν οὐκ αἶγα, ἀλλὰ τὰς ἑαυτῶν μητέρας ἐκτετμημένας τὰς γλώττας, ἵνα μὴ δύνωνται διδάσκεσθαι ὁμιλουσῶν τὰ παιδία. ἔπειτα μετὰ τριετῆ χρόνον ἐκέλευσε σιωπῶντά τινα ἄνδρα εἰσελθεῖν πρὸς αὐτά. εἰσελθόντος δὲ αὐτοῦ προσεπήδησαν τὰ παιδία λέγοντα “βέκ”· ἔστι δὲ τοῦτο φρυγιστὶ ἄρτος. ἐκ τούτου Φρύγες ἐφάνησαν ἀρχαιότεροι. ἀπὸ ἱστορίας οὖν εἴρηται ἡ λέξις· ἔστι δὲ παρ’ Ἡροδότῳ ἐν τῷ δευτέρῳ, ἔνθα περὶ Ψαμμητίχου φησίν. E

book 398e δέον εἰπεῖν “προσέληνε” τὸ βέκ παρέπλεξεν, ὅπερ ἐστὶ κατὰ Φρύγας ἄρτος. E

book 398f 〈ἢ τὰ β′ σύγκειται ὡς ἕν, τὸ βέκος καὶ ἡ σελήνη· ἀρχαῖα δὲ ἀμφότερα. ἢ ὅτι οἱ Λυδοὶ τὸν ἄρτον βέκος ἐκάλουν ἢ Φρύγες, διεβάλλοντο δὲ ὡς ἀνόητοι· ἀπὸ τῆς οὖν διαλέκτου σκώπτει αὐτούς. ἡ δὲ περὶ τοῦ βέκε ἱστορία, ἥ ἐστι φωνὴ Φρυγῶν σημαίνουσα τὸν ἄρτον, παρὰ Ἡροδότῳ φανερά ἐστιν ἐν β′.〉 Su. I 466, 9

book 398g βεκκεσέληνε R: οἷον σεληνόβλητε καὶ ἀπόπληκτε RVE καὶ σαλέ. R

book 398h βεκκεσέληνε] ἀναίσθητε. E

book 400 σφόδρα γ’ εἴς’ ἐπίορκοι E: οὗτοι, οὓς εἶπεν. ὅτι ἐπίορκοι. καὶ ὡς εἰς ἀλλήλους κακοὶ κωμῳδοῦνται. RVE

book 401a 401] ὡς τούτων συνεχῶς γινομένων. E

book 401b Σούνιον: τόπος τῆς Ἀττικῆς ἀκρωτήριον ὂν τῆς Ἀτταλίδος φυλῆς. R

book 402a καὶ τὰς δρῦς E: ἐπειδὴ τοῖς ὑψηλοῖς καὶ τοῖς δένδρεσιν ἐμπίπτει ὁ κεραυνός. RE

book 402b σημειωτέον, ὅτι Πελοποννήσιοι ἀρσενικῶς λέγουσι τοὺς δρῦς. RVE

book 403 οὐκ οἶδ’, ἀτὰρ E: ἐστενοχωρήθη ὑπὸ τῶν τοῦ Σωκράτους λόγων. RVE

book 404a φησίν, ὅτι ἄνεμος ἐμπεσὼν ταῖς Νεφέλαις καὶ ὑπό τινος ἀνάγκης ἐλαυνόμενος EM σφοδρότερον ἀποπνεύσας καὶ διαρρήξας E ἀπορρήγνυσιν ἐξ αὐτῶν τὸν κεραυνόν. EM

book 404b ξηρὸς REM: εὔδιος καὶ θερμὸς καὶ μηδεμίαν ὑγρασίαν ἔχων. RVEM

book 404c μετεωρισθεὶς V: ἐπαρθεὶς ἢ ἐμπεσών. VE

book 404d κατακλεισθῇ: ἀντὶ τοῦ “στενοχωρηθῇ, E συσχεθῇ”. RE

book 405a ὥσπερ E κύστιν: τὴν κοιλίαν, τὴν φῦσαν. εἴρηται δὲ φῦσα ἀφ’ οὗ πάσχειν πέφυκεν. RVE

book 405b ὑπ’ ἀνάγκης: ὑπὸ βίας στενοχωρούμενος. R

book 405c ὑπ’ ἀνάγκης ἐλαυνόμενος. E

book 406a διαρρήξας αὐτάς. R

book 406b ῥήξας: ἀντὶ τοῦ “διασκεδάσας, σκορπίσας”. E

book 406c σοβαρὸς] Χρύσιππος ἐτυμολογεῖ τὸν βαρέως σειόμενον. E

book 406d σοβαρὸς] μεῖζον καὶ σφοδότερον πνεύσας. RE

book 407a ῥοίβδου] ψόφου. V

book 407b ὑπὸ τῆς ὁρμῆς. R

book 407c αὑτὸς ἑαυτὸν R θερμαίνων καὶ ἐκπυρῶν. RE

book 408a ἀτεχνῶς] ἀκριβῶς. EN

book 408b ἀπείρως, RV ἀμαθῶς. V

book 408c alpha

Διασίοισιν M: Ἀθήνησιν ἑορτὴ Μειλιχίου Διὸς μηνὸς Ἀνθεστηριῶνος φθίνοντος. M 〈Ἀπολλώνιος δὲ ὁ Ἀχαρνεὺς διακρίνει τὰ Διάσια ἀπὸ τῆς τοῦ Μειλιχίου Διὸς ἑορτῆς 〈...〉 ὠνομάσθαι λέγων. ὡς δέ τινες, ἀπὸ τοῦ φυγεῖν αὐτοὺς ταῖς εὐχαῖς τὰς ἄτας.〉 Ald

book 408c beta Διάσια ἑορτὴ Ἀθήνησι Μειλιχίου Διός· ἄγεται δὲ μηνὸς Ἀνθεστηριῶνος η′ φθίνοντος. Ἀπολλώνιος δὲ ὁ Ἀχαρνεὺς τὰ Διάσια διακρίνει ἀπὸ τῆς τοῦ Μειλιχίου ἑορτῆς, προσηγορεῦσθαι αὐτὰ λέγων, καθάπερ τινές φασιν, ἀπὸ τοῦ διαφυγεῖν αὐτοὺς εὐχαῖς τὰς ἄσας. R

book 408d ἑορτὴ Διὸς Ἀθήνησι τὰ Διάσια, ἐν ᾗ πανδημεὶ ἔξω τοῦ τείχους συνόντες ἑορτάζουσιν. ἔστι δὲ τὰ Διάσια τὰ αὐτὰ τοῖς Διιπολίοις. V

book 409a κᾆτ’ οὐκ ἔσχον ἀμελήσας RM: οὐκ ἔσχιζον· ἀττικῶς ἔκλινεν. M οὐκ ἐκέντουν, οὐκ ἔσχισα. ποιοῦσι δὲ τοῦτο, ἵνα μὴ διαρραγῇ. RM

book 409b οὐκ ἔσχον: ἀντὶ τοῦ “οὐ διεῖλον”· οὕτως ἔκλινεν ἀττικῶς. εἰώθασι δὲ κεντεῖν καὶ σχίζειν δίοδον παρέχοντες τῷ πνεύματι τῶν ἐγκειμένων, ὥστε μὴ ἀθρόως ἐξελθεῖν βουλόμενον διαρρῆξαι. V

book 410a ἡ δ’ ἄρ’ ἐφυσᾶτ’ M: ἡ δὲ ὠγκοῦτο ἐπαιρομένων τῶν RVM νητῶν εἰς αὐτὴν RV ἀρτύσεων. RVM

book 410b διαλακίσασα: ἀντὶ τοῦ M “διαρραγεῖσα”· ENMbisAMatr λακὶς γὰρ τὸ σχίσμα. M

book 411 προσετίλησεν] προσερράντισεν. RMMatr

book 411alpha 〈οἰκείως δὲ νῦν τῷ προσετίλησα χρῆται ὡς ἐπὶ κοιλίας.〉 Ald

book 411beta ὡς ἐπὶ κοιλίας ἐχρήσατο τῇ λέξει. R

book 414 τὸ ταλαίπωρον] τὸ τλητικὸν, τὸ ἐπίπονον. R τὸ ὑπομονητικόν. E

book 415 τὸ “μὴ” ἀντὶ τοῦ “οὔ”. V

book 416a μήτε ῥιγῶν ἀχθῇ M: ἐν γὰρ μόνῳ τῷ τρίβωνι ἐχείμαζον οἱ φιλόσοφοι μηδὲν ἐσθίοντες. VM

book 416b ἐπιθυμεῖς] ἐπιθυμῇς. V

book 417a ταῦτα οὐκ ἐποίει Σωκράτης, ἀλλὰ πίνειν μὲν αὐτόν φασι πλεῖστον, νήφειν δὲ καὶ τὰ συνήθη πράττειν. V

book 417b γυμνασίων] παιγνίων. E

book 417c ἀνοήτων R: τῶν ἀφροδισίων RVNMMatrRs λέγει V καὶ τῆς τοιαύτης λαγνείας. VM

book 417c alpha 〈τὸ γὰρ ἀνοηταίνειν μωραίνειν, μωραίνειν δὲ τὸ ἀφροδισιάζειν ἔλεγον.〉 Ald

book 417c beta τὰ γὰρ ἀνόητα ἀντὶ τοῦ “τὰ μωρά”, μωραίνειν δὲ τὸ ἀφροδισιάζειν. V

book 419a καὶ τῇ γλώττῃ πολεμίζων R: οὐκ αὐτῇ τῇ γλώττῃ πολεμῶν, ἀλλὰ γλώττῃ καθάπερ ὅπλῳ χρώμενος—τοῦτο γὰρ ὅπλον ῥήτορος—καὶ καταπολεμῶν ἐν αὐτῇ τοὺς ἐναντίους. φησὶν οὖν· εἰ δυνήσῃ πάντων ἀπέχεσθαι ὧν εἰρήκαμεν, δυνήσῃ ἀγωνίσασθαι πρὸς τοὺς ἀντιπραττομένους. RV

book 419b τῇ γλώττῃ πολεμίζων] τῇ γλώττῃ γὰρ πολεμοῦσι τοὺς ἐναντίους οἱ ῥήτορες. MNp

book 420 δυσκολοκοίτου] δυσκόλως κοιμωμένης. RVMatr

book 421a τρυσιβίου] καταπονούσης τὸν βίον. RVNA

book 421b τρυσιβίου] δαμαζούσης τὸν βίον. EMatr

book 421c θυμβρεπιδείπνου V: τὰς θύμβρας δυναμένης δειπνεῖν· ἔστι δὲ βοτάνης εἶδος. ἀφ’ οὗ δηλοῖ, ὅτι λάχανα μόνα τρώγουσιν εὐτελῆ. RV

book 421d θυμβρεπιδείπνου] εὐτελούσης δείπνου. E

book 422a ἀμέλει] ἀμελῶς ἔχε. E

book 422b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπιχαλκεύειν: ἀντὶ τοῦ R “παιδεύεσθαι”. RV

book 422c παρέχοιμ’ ἄν] ἐμαυτόν. EM

book 423alpha ἀντὶ τοῦ “οὐ νομιεῖς”. V

book 423beta γράφεται καὶ “ἄλλο τι δῆτ’ οὐ νομιεῖς”. Matr

book 424 τὸ Χάος M: Χάος λέγει τὸν ἀέρα· παρὰ τὸ κεχύσθαι. RMMatr ἐτίμων δὲ τὴν γλῶτταν καὶ ἤσκουν τὴν πολυλογίαν. RM

book 425a οὐδὲ προσείποιμι ἄλλον θεὸν οὐδὲ συντυχών. RM

book 425b ἀτεχνῶς V: παντελῶς, VEN διόλου. RVEN

book 427a ὅ, τι σοι] βούλει ἵνα. E

book 427b θαρρῶν] μετὰ θάρρους. E

book 427c οὐκ ἀτυχήσεις: ἀντὶ τοῦ “οὐκ ἀποτεύξῃ”: 〈ἀντὶ τοῦ “τεύξῃ〉 ὧν θέλεις”. R

book 428 δεξιὸς] πεπαιδευμένος. RV

book 429 τουτὶ] ὅπερ μέλλω ἐρεῖν. E

book 430 σταδίοισιν ἄριστον] λείπει “ποιήσατε”. R

book 431a τοῦδε] καιροῦ. E

book 431b ἀπὸ τουδὶ] ἀπὸ τούτου τοῦ χρόνου. R

book 432 γνώμας ἔλεγον καὶ τὰς δημηγορίας. RV

book 433 μή μοι γε] λέγε. E

book 434a ὅς’ ἐμαυτῷ] ἐστὶ δυνατὸν ὑπὸ σοῦ αὐτοῦ. E

book 434b στρεψοδικῆσαι M: στρέψαι τὰς δίκας. RVMbis πρὸς ταύτην δὲ τὴν λέξιν καὶ τὸ ὄνομα πεποίηται τῷ γέροντι Στρεψιάδης. RVM

book 434c καὶ νῦν χρήστας R τοὺς RN δανειστάς. RNM

book 434d alpha διολισθεῖν] διαφυγεῖν. ENM

book 434d beta διολισθεῖν V: ἐκφυγεῖν. RV

book 436a προσπόλοισι R: πρόσφυξι. λέγει δὲ “τοῖς φιλοσόφοις”. RV

book 436b προσπόλοισι] θεραπευταῖς. EN

book 437 πιέζει] στενοχωρεῖ. EN

book 438a τοὺς κοππατίας: μετὰ τοῦ χαράγματος· καὶ τοὺς ἐκκεκοφότας αὐτοῦ τὴν οὐσίαν δηλοῖ. R

book 438b ὅς μ’ ἐπέτριψεν: ὃς αἴτιός μοι πάντων τῶν συμβάντων κακῶν· ἢ δι’ ὃν ἐδυστύχησα. RM

book 439a ἀπὸ τοῦ “νῦν οὖν χρήσθων” ἕως τοῦ “τοῖς φροντισταῖς παραθέντων” κῶλα ἀναπαιστικά, δίμετρα ὑπερκατάληκτα καὶ 〈ἀκατάληκτα καὶ〉 καταληκτικά. Rs

book 439b νῦν οὖν χρήσθων RM: νῦν οὖν RV χρήσθωσαν. RVNMRs κατὰ δυικὴν προφορὰν ὡς δυικὸν ἔχον τὸν σχηματισμόν, πληθυντικῶς δὲ νῦν λέλεκται “χρήσθωσαν”. ἀττικὴ δὲ ἡ τοιαύτη σύνταξις· RVM 〈οἷον〉 “ποιούντων ἐκεῖνοι” ἀντὶ τοῦ “ποιείτωσαν”, “φρονούντων” ἀντὶ τοῦ “φρονείτωσαν”, ὡς καὶ ἐνταῦθα. νῦν, φησί, τὴν ἐξουσίαν αὐτοῖς παραδίδωμι τοῦ ἐμαυτοῦ σώματος, τοῖς προσπόλοις RV δηλονότι. R

book 442a αὐχμεῖν] κακοῦν, V ξηραίνεσθαι. RV

book 442b alpha ἀσκὸν δέρειν NM: τὸ σῶμα ἐκδέρειν. ENM

book 442b beta ἀσκὸν δέρειν R: τὸ δέρμα μου εἰς ἀσκὸν ἐκδερματίζειν. RV

book 442c alpha

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑπὲρ τοῦ πιστεῦσαι ἐμμένειν τοῖς ὑποκειμένοις κατέθηκε πλέον ἢ ἐκεῖνος προσέταξεν, εἰ δέοι, καταφρονήσειν ἐκδερομένου τοῦ σώματος. ὁ γὰρ τὸ μεῖζον ἐπαγγελλόμενος πῶς οὐκ ἂν τὸ τοιοῦτον ἧττον ἐνέγκοι ῥᾳδίως; ENM

book 442c beta ὑπὲρ τοῦ πιστευθῆναι αὐτὸν ἐμμένειν τοῖς ὑποκειμένοις προσέθηκε πλέον RV ἢ ἐκεῖνοι προσέταξαν, καὶ λέγει καταφρονεῖν ἐκδερομένου τοῦ δέρματος. V ὁ γὰρ τὰ μείζω ἐπαγγελλόμενος ὑπομένειν εὐχερῶς ἂν τὰ ἥττονα ὑπενέγκοι. RV

book 442d ἀσκὸν] ὡς. E

book 445a θρασύς] τολμητίας. E

book 445b εὔγλωττος] λέγειν προσήνης. R

book 445c τολμηρός] ὑπομονητικός. E

book 445d ἴτης RM: ἀντὶ τοῦ R “ἰταμός, RVEbisNMbisMatr σκληρός, τολμηρός, RV ἀναιδής, ENMbisMatr καὶ δι’ αὐτῶν χωρῶν τῶν πραγμάτων”. RVENM

book 445e ἴτης] ὀξύς. R

book 446a βδελυρός RM: καὶ τὸν πόρνον οὕτως ἐκάλουν, RVM βδελυρόν, ὡς ἐν τῷ κατὰ Τιμάρχου Αἰσχίνης, VM καὶ τὸν μίσους ἄξιον—καὶ τὸ μισεῖν βδελύττεσθαι—καὶ τὸν ἀνελεύθερον. RVM

book 446b βδελυρός] μισητός. E

book 446c ψευδῶν συγκολλητής] ψευδολόγος. RV

book 446d συγκολλητής] ἐφευρετής. E

book 447a εὑρησιεπής] ἐπῶν ἐφευρετὴς ψευδῶν. E

book 447b περίτριμμα δικῶν] ἐντριβὴς EN τῶν κρίσεων. E

book 447c περίτριμμα] περίεργος, ὃν οὐκ ἔστι λαθεῖν. RVM

book 448a alpha κύρβις: κύρβις ἡ σανὶς ἔνθα ἦσαν οἱ νόμοι γεγραμμένοι. λέγει οὖν· εἰ τά τε ἄλλα δόξαιμι τοῖς πολλοῖς ἔμπειρος εἶναι καὶ τῶν νόμων καὶ τῶν λόγων, πᾶν ὁτιοῦν ὑπομείναιμι παθεῖν ἡδέως παθεῖν παρ’ ὑμῶν. M

book 448a beta κύρβις σανὶς ἔνθα οἱ νόμοι γεγραμμένοι ἦσαν. ἢ οὕτως. ἡδέως ἂν ὁτιοῦν ὑπομείναιμι, ἵνα δόξω τοῖς πολλοῖς λόγων ἔμπειρος εἶναι καὶ νόμους εἰδέναι. RV

book 448b alpha μνήμων· καὶ γὰρ αἱ κύρβεις πρὸς μνήμην εἰργάζοντο. M

book 448b beta ἕνεκεν γὰρ μνήμης ἀνέγραφον εἰς τὰς κύρβιας. V

book 448c κύρβις] ἐπιστήμων τῶν νόμων. E

book 448d κρόταλον: ἀντὶ τοῦ “εὔγλωττος καὶ εὔστομος ὡς τὰ κρόταλα”. V

book 448e κίναδος: ἀπατητικός. εἴρηται δὲ ἀπὸ μεταφορᾶς τῆς ἀλώπεκος. κοινῶς δὲ θηρίον τὸ κίναδος, οὐχ ὥς τινές φασι πᾶν ἑρπετόν. R

book 448f κίναδος: εἶδός τι θηρίου, VM ὡς καὶ Δημοσθένης ἐν τῷ Περὶ στεφάνου· “τοῦτο δὲ καὶ φύσει κίναδος τἀνθρώπιόν ἐστιν”. V οἱ δὲ πᾶν μὲν θηρίον κίναδος ἀξιοῦσι καλεῖσθαι, ἰδίως δὲ τὴν ἀλώπεκα. κακοῦργος οὖν, φησίν, ὡς ἀλώπηξ. VM

book 448g κίναδος] πανοῦργος. EN

book 448h τρύμη: ὁ περιτετριμμένος RVMMatr σφόδρα καὶ πεπερονημένος RV ἐν τοῖς πράγμασιν, ὃν ἡμεῖς τρύπανον καλοῦμεν. θέλει δὲ εἰπεῖν· RVM- Matr εὔστομος RVEMbisMatr ὡς τρύπανον. RVMbisMatr καὶ γὰρ τὸ τρύπανον πάντα καταδαπανᾷ. M

book 448i τρύμην καὶ τρῦμα τὴν ὀπήν φαμεν. R

book 449a alpha

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μάσθλης: ὁ μεμαλαγμένος λῶρος, ὁ ὀλισθηρὸς καὶ διαβατικός. μάσθλης οὖν ὁ Μ πολυγνώμων, ὁ ἄλλο μὲν νοῶν, ἄλλο δὲ ποιῶν Mbis καὶ μηδὲν βέβαιον γινώσκων καὶ σταθηρόν. M

book 449a beta μάσθλης: ἰδίως ὁ μεμαλαγμένος λῶρος καὶ ἔκλυτος. μάσθλης οὖν ἐνταῦθα ὁ πολυγνώμων RV καὶ ἔκλυτος καὶ μηδὲν βέβαιον μηδὲ σταθερὸν γινώσκων. V

book 449b ὁ ἱμαντώδης καὶ μαστιγίας, ἀπὸ μεταφορᾶς τοῦ μεμαλαγμένου ἱμάντος· ἢ οὕτως εὔτονος ὡς ἱμάς. V

book 449c εἴρων: ὁ πάντα παίζων καὶ διαχλευάζων καὶ εἰρωνευόμενος· ἀπατεὼν καὶ RV ὑποκριτής. RVEM

book 449d γλοιός: τὸ αὐτὸ δηλοῖ τῷ μάσθλης. εἴληπται δὲ ἡ μεταφορὰ ἀπὸ τοῦ ἐν τοῖς βαλανείοις ἐλαίου πεπηγότος, ὅπερ τοὺς ἐπιλαμβανομένους διολισθαίνειν πέφυκεν. τοιοῦτος οὖν καὶ ὁ πρεσβύτης εὔχεται γενέσθαι τοὺς τρόπους, ἵνα ὥσπερ διολισθαίνειν VM καὶ φεύγειν V δύνηται τοὺς δανειστάς. VM καὶ μέχρι ⟨δὲ τῆσ⟩ δεῦρο τοὺς τῇ γνώμῃ σκάζοντας καὶ μηδὲν σταθερὸν φρονοῦντας, καὶ ἄλλο μὲν ἐπαγγελλομένους, ἄλλο δὲ φρονοῦντας καὶ πράσσοντας, διὰ τὸ τῆς γνώμης ὀλισθηρὸν καὶ ἄπιστον γλοιοὺς καλοῦμεν. V

book 449e alpha ⟨ἐπὶ τοῦ μιαροῦ καὶ ῥυπαροῦ καὶ μικρολόγου παραλαμβάνεται· καὶ γὰρ ὁ ῥυπαρὸς διὰ τὴν ἄσκησιν σύνεγγύς πως ἐστὶ τῷ γλοιῷ. ἐπὶ δὲ τὸ ἦθος μετενεχθὲν τὸν μοχθηρὸν δηλοῖ ἢ ὀλισθηρὸν καὶ εὐμετάβολον.⟩ Ald Su. I 530, 2

book 449e beta γλοιός: μιαρὸς καὶ R ῥυπαρὸς REMMatr καὶ μικρολόγος. R

book 449f ἀλαζών] πλάνος. RV ἀναιδής. E

book 450a κέντρων R: τουτέστι χαλεπὸς καὶ φρικτός, καθὸ καὶ τοὺς ἡνιόχους κεντροτύπους καλοῦμεν τοὺς τοῖς κέντροις τοὺς ἵππους τύπτοντας. RV

book 450b alpha ⟨οἱ ἐκ τῶν ἄλλων συνηθροισμένοι ἐπὶ τοιαῦτά τινα τοῖς ὑποζυγίοις ῥιπτούμενα καλοῦνται κέντρωνες.⟩ Ald

book 450b beta ⟨ὁ ἐκ πολλῶν συνερραμμένος. ἐπεὶ τοιαῦτα τοῖς ὑποζυγίοις συρράπτοντες καλοῦσι κέντρωνας· ὡσαύτως καὶ λόγους ἐκ διαφόρων συνειλεγμένους καὶ ἕνα σκοπὸν ἀπαρτίζοντας, οἷά εἰσι τὰ Ὁμηρόκεντρα.⟩ Su. III 95, 23

book 450b ⟨οἱ δὲ τὸν λοίδορον ἀκούουσιν οἷον κεντροτύποσ⟩ Ald Su. (ib. 26) ⟨ὁ κεκεντρωμένος καὶ φρικτός.⟩ Ald

book 450c alpha κέντρων: φανερὸς κλέπτης, ὅτι βασανιζομένοις αὐτοῖς κέντρα προσφέρουσιν.⟩ Ald

book 450c beta κέντρων λέγεται καὶ ὁ κλέπτης διὰ τὸ βασανιζομένοις τοῖς κλέπταις καὶ κέντρα προσφέρεσθαι. V

book 450d μιαρός] κακός. E

book 451a στρόφις RENM(Par 2727): ἀπὸ τοῦ στρόφιγγος ἡ μεταφορά. οἷον RVENMA(Par 2727) εὔστροφος RVEbisNbisMbisARs(Par 2727) καὶ εὐκίνητος RVENMARs(Par 2727) ἐν τοῖς πράγμασιν. RVENMA(Par 2727)

book 451b λέγεται δὲ στρόφιγξ τὸ τοῖς σωλῆσιν ἐμβαλλόμενον, ὥστε τὴν τοῦ ὕδατος ἐπέχειν ὁρμήν, ὅταν τις θελήσῃ, καὶ αὖ πάλιν ἀνιέναι. EN(Par)

book 451c ἀργαλέος] ἀκαταγώνιστος. RNA

book 451d ἀργαλέος] ἄλγους ποιητικός. E

book 451e ματιολοιχός: οἱ μὲν τὸν λίχνον, οἱ δὲ τὸν μικροφάγον, ἐπεὶ μάτιον τὸ ἐλάχιστον εἰώθασι λέγειν. οἱ δὲ τὸν μάταια βουλευόμενον καὶ λοχῶντα. RV

book 451f ματιολοιχός ENM: ἤτοι ὁ κρουσιμέτρης· μάτιον γὰρ εἶδος μέτρου. VENM

book 451g

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁ φειδωλὸς EbisNbisMbisA καὶ ENM σμικρολόγος. ENbis A

book 451h ὁ μυκτηριστής. ENMbis

book 451i ὀξυτόνως Ἡρωδιανός. VE

book 453a δρώντων] δράτωσαν. ENRs

book 453b ἀτεχνῶς] ἀκριβῶς. R

book 453c χρῄζουσιν] οἱ φιλόσοφοι. R

book 455a χορδὴν R: ἀπ’ ἐμοῦ χορδὴν τοῖς RV φιλοσόφοις RVbis παραθέτωσαν. RVNMRs χορδὴ δὲ τὸ λεπτὸν RV ἔντερον. RVNM ὑπερβολὴ δὲ τὸ τοιοῦτον. V

book 455b χορδάρια. V

book 457a ἡ περίοδος ἑνδεκάκωλος, ὧν τὸ μὲν πρῶτον τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ δεύτερον τροχαϊκὸν τρίμετρον καταληκτικόν. τὸ τρίτον δακτυλικὸν πενθημιμερές. τὸ δʹ ἀναπαιστικὸν πενθημιμερές. τὸ εʹ φερεκράτειον ἀτελές. τὸ ςʹ ἰαμβικὴ βάσις. τὸ ζʹ ἀναπαιστικὴ προσοδιακὴ περίοδος δωδεκάσημος. τὸ ηʹ ὅμοιον τῷ ζʹ, ἀλλὰ συνῆπται τὸ ἑξῆς ἰαμβικὸν πενθημιμερὲς VRs προὖχον. Rs τὸ ιʹ δακτυλικὸν εἰς τρίτον τροχαῖον. τὸ ιαʹ τρισύλλαβον κατὰ πόδα κρητικόν. VRs

book 457b λῆμα μὲν πάρεστι R: ἀντὶ τοῦ RV “φρόνημα”. RVNMRs

book 458 ἀλλ’ ἕτοιμον] ἀλλὰ τολμηρόν. R

book 459 οὐρανόμηκες] μέγιστον. R 〈παρὰ τὸ ἐπουράνιον κλέος εἴη.〉 Ald Su.

book 460 ἕξεις] ἕξων. V

book 465 τὸ εὐδαιμονῆσαι δηλονότι. R

book 467 ὥστε γε σοῦ Rs: ἡ περίοδος ἐννεάκωλος, ὧν τὸ μὲν πρῶτον χοριαμβικὴν ποιεῖ συζυγίαν· τὸ δὲ δεύτερον ἀνάπαιστον προσοδιακὸν δωδεκάσημον. τὸ γʹ ἰαμβικὸν πενθημιμερές. 〈τὸ δʹ δακτυλικὸν πενθημιμερές,〉 συνῆπται δὲ καὶ τὸ ἑξῆς ἀναπαιστικὸν ἑφθημιμερές· καὶ γὰρ τὰ δύο ἔπος. τὸ ςʹ δακτυλικὸν πενθημιμερές, ὡς τὸ δʹ. τὸ ζʹ ἰαμβικὸν πενθημιμερές. τὸ ηʹ ὡς τὸ ςʹ, συνῆπται δὲ τῷ ἑξῆς ὄντι ἀναπαιστικῷ· καὶ γὰρ τὰ δύο τὸ λεγόμενον χοιρίλειον. VRs

book 472a πράγματα κἀντιγραφὰς M: οὕτως ἐκάλουν τὰς δίκας πάσας διὰ τὰς ἀντιθέσεις καὶ λύσεις τῶν ἐπιφερομένων. VMRs

book 472b τὸ ἑξῆς· ἀνακοινοῦσθαί τε πράγματα καὶ ἀντιγραφάς. MRs

book 474 ἄξια σῇ φρενὶ: τὰ ἄξια πράγματα M σὺν τῇ σῇ φρενὶ βουλευσομένους. VM περὶ γνωμῶν M μετὰ σοῦ VM βουλευ〈σ〉ομένους. M

book 476a ἀλλ’ ἐγχείρει: στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ [βʹ, οὓς] ὁ χορός φησιν· εἰώθα[σι] γὰρ μετὰ τὸ ᾆσαι ἐπάγειν 〈δίστιχον〉. Rs

book 476b νῦν ὁ Σωκράτης λέγει, μᾶλλον δὲ ὁ χορός· εἴωθε γὰρ μετὰ τὸ ᾆσαι ἐπάγειν δίστιχον. ὡς ἂν ᾄδη τὸ “ἀλλ’ ἐγχείρει”. V

book 477 καὶ διακίνει τὸν νοῦν: ἀντὶ τοῦ “κούφισον καὶ δοκίμασον τὸν τρόπον”. M

book 478 σαυτοῦ τρόπον] εἴσθεσις εἰς ἰάμβους τριμέτρους λβʹ. E

book 479 μηχανὰς] παιδεύσεις, REMatr γνώμας. RMatr

book 481 πρὸς τὰς μηχανὰς ὑπήντησεν. RV

book 484 ὀφείληταί] χρεωστῆται. RM

book 485 οὐδέτερον ἐπεκράτησεν. V

book 486 ἔχεις ἐπιτηδειότητα εἰς τὸ λέγειν. RVE

book 487

λέγειν μὲν οὐκ ἔνεστι R ἀποστερεῖν δ’ ἔνι M: πρὸς τὸ ὁμοιοκατάληκτον καὶ πρὸς τὸ ἑαυτοῦ ὁ γέρων βούλευμα. τοῦτο γὰρ αὐτῷ σπουδάζεται, τὸ ἀποστερεῖν τοὺς δανειστάς. RM

book 488a παρέλκει RMatr τὸ “ἀμέλει”. R

book 488b ἀμέλει καλῶς M: ἀντὶ τοῦ “μὴ ἀθύμει”. VMMatr

book 488c ἀττικὴ ἡ φράσις. VMatr

book 488d διὰ τοῦτο μᾶλλον ἄλλων ἔσομαι μνημονικὸς τῶν καλῶν, τῶν δὲ κακῶν ἐπιλήσμων. M

book 489a ἄγε] σκόπει. E

book 489b ὅταν] ὁπηνίκα. E

book 489c προβάλωμαι] εἴπω, λέξω. E

book 490 ὑφαρπάσῃς: ἀττικῶς δεύτερον πρόσωπον. M ἀντὶ τοῦ “συναρπάσῃς”. RMbis

book 491a τί δαὶ κυνηδὸν: πρὸς τὸ ὑφαρπάσαι ἔπαιξεν, ἐπειδὴ καὶ οἱ κύνες ἁρπάζοντες ἐσθίουσιν. R

book 491b ἔπαιξε πρὸς τὸ ὑφαρπάσαι αἰνιττόμενος τὴν κυνικὴν φιλοσοφίαν. ἴσως δὲ κἀκεῖνος ἀπὸ τῶν κυνικῶν φιλοσόφων ἔλαβε τὸ “κυνηδόν”. MMatr

book 491c [ὅτι] κυνικοί εἰσι φιλόσοφοι. R

book 491d κυνηδὸν] δίκην κυνός. EN

book 491e σοφίαν σιτήσομαι] μέλλω λήψεσθαι τὴν σοφίαν. E

book 495 ἐπιμαρτύρομαι] μάρτυρας καλοῦμαι. E

book 496a ἀντὶ τοῦ RV “ὀλίγον χρόνον”. RVE

book 496b διαλιπὼν] κατα–. E

book 496c δικάζομαι] εἰς δίκας εἰσέρχομαι. E

book 497a ἴθι RV νῦν R: ἀντὶ τοῦ “ἄγε”. RV

book 497b κατάθου RM θοἰμάτιον M: ὅπερ ἐποίουν ἐπὶ τῶν μυουμένων τὰ μυστήρια, ἀποδῦσαι αὐτὸν βούλεται τὴν ἐσθῆτα. RVM

book 497c ἠδίκηκά τι;] ἐποίησά τινα ἀδικίαν; E

book 498a οὔκ, ἀλλὰ γυμνοὺς EN εἰσιέναι N: ὡς μέλλων ἐκεῖνος τύπτεσθαί φησιν REN “ἠδίκηκά τι;” ὁ δὲ τερατευόμενος ὡς ἐπὶ τῶν μυουμένων γυμνὸν εἰσφέρει αὐτόν. EN

book 498b νομίζεται] ἀντὶ τοῦ R “νόμιμόν ἐστιν”. RMRs

book 498c νομίζεται] σύνηθές ἐστιν. E

book 499a ἀλλ’ οὐχὶ φωράσων: ἀντὶ τοῦ EN “ἐρευνήσων”. VEbisNbis

book 499b ἀλλ’ οὐχὶ φωράσων M: πρὸς τὸ ἔθος. EM οἱ γὰρ εἰσιόντες ἐπὶ τὸ θεάσασθαι χρήματα τοῦ δημοσίου ἢ ἐπὶ τὸ ἐρευνῆσαι γυμνοὶ εἰσῄεσαν, ἵνα μή τι ὑπὸ τὰ ἱμάτια κρύψωσιν· RVEbisNMbisAbisMatr ἢ ἵνα μὴ πολλάκις ἐχθροὶ ὄντες καὶ μὴ ἔχοντες ἀπόδειξιν αὐτοὶ παρεισενεγκόντες τὸ ζητούμενον ὑποβάλωσιν. VENMAMatr

book 502a τῷ] τίνι. EMatr

book 502b ἐμφερὴς] ὅμοιος. ENM

book 503a ἐπεὶ ἰσχνὸς καὶ ὠχρὸς τὴν ἰδέαν ὁ Χαιρεφῶν, ἅτε φιλοσοφίᾳ προστετηκώς· διὸ ἐκαλεῖτο νυκτερὶς καὶ πύξινος. RVEN

book 503b οὐδὲν διοίσεις] οὐδεμίαν διαφορὰν ἕξεις. E

book 505 ἀκολουθήσεις] ἀκολούθησον. EN

book 506 ἀνύσας τι δευρὶ] λίαν E σπεύσας εἰς τὸ φροντιστήριον. RE

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 507a alpha μελιτοῦτταν: μάζαν τῷ μέλιτι συμπεφυρμένην. EN

book 507a beta πλακοῦντα μέλιτι δεδευμένον. V

book 507a ἔφερον δέ, ὡς ἐδόκουν, τοῖς ὄφεσιν. VN

book 507b ὡς] ὅτι. EN

book 508a ὥσπερ ἐς Τροφωνίου: οὕτως ὁ Χάραξ ἐν τῷ δ′· “Ἀγαμήδης ἄρχων Στυμφήλου τῆς Ἀρκαδίας ἐγάμει Ἐπικάστην, ἧς παῖς ἦν Τροφώνιος σκότιος. οὗτοι τοὺς τότε πάντας ὑπερεβάλλοντο εὐτεχνίᾳ, τόν τε ἐν Δελφοῖς Ἀπόλλωνος ναὸν ἠργολάβησαν. ἐν Ἤλιδι 〈δὲ〉 ταμιεῖον χρυσοῦν κατεσκεύασαν Αὐγείᾳ· ᾧ καταλείψαντες ἁρμὸν λίθινον νυκτὸς εἰσιόντες ἔκλεπτον τῶν χρημάτων ἅμα Κερκυόνι, ὃς ἦν γνήσιος Ἀγαμήδους καὶ Ἐπικάστης υἱός. ὡς δὲ ἠπόρει λίαν Αὐγείας, ἐπιδημήσαντα Δαίδαλον διὰ Μίνωος ἐλιτάνευσεν ἐξιχνεῦσαι τὸν φῶρα. ὁ δὲ παγίδας ἔστησεν, αἷς περιπεσὼν Ἀγαμήδης ἀναιρεῖται. Τροφώνιος δὲ τὴν κεφαλὴν αὐτοῦ τεμὼν πρὸς τὸ μὴ γνωρισθῆναι ἅμα Κερκυόνι φεύγει εἰς Ὀρχομενόν. Αὐγείου δὲ κατὰ κέλευσιν Δαιδάλου πρὸς τὴν τῶν αἱμάτων ἔκχυσιν ἐπιδιώκοντος καταφεύγουσιν ὁ μὲν Κερκυὼν εἰς Ἀθήνας· Καλλίμαχος ὅς ῥ’ ἔφυγεν μὲν Ἀρκαδίην, ἡμῖν δὲ κακὸς παρενάσσατο γείτων.

book 508a ὁ δὲ Τροφώνιος Ἐργίνου εἰς Λεβάδειαν τῆς Βοιωτίας φεύγει· οὗ κατωρυχὴν ποιησάμενος οἰκήσας διετέλει. τελευτήσαντος δὲ αὐτοῦ μαντεῖον ἀτρεκὲς ἐφάνη αὐτοῖς καὶ θύουσιν αὐτῷ ὡς θεῷ. περιέλιπε δὲ υἱὸν Ἄλκανδρον”. ἄλλως. ἐν τοῖς ἀντιγράφοις οὕτως εὗρον· πρῶτον μὲν ὅτι οἱ περὶ Ἀγαμήδην υἱοὶ Ἀπόλλωνος καὶ Ἐπικάστης, οἱ δὲ Διὸς καὶ Ἰοκάστης, οἱ δὲ Ἐργίνου. εἶτα ὡς Δαίδαλος μὲν τὸ τεχνίον ἐποίησεν, αὐτοὶ δὲ κεκλοφότες ἑάλωσαν, καὶ τῷ ἑτέρῳ φεύγοντι διέσχεν ἡ γῆ καὶ ἐδέξατο περὶ Λεβάδειαν. ὕστερον δὲ Βοιωτοῖς λιμώττουσιν ἔχρησεν ὁ θεὸς Τροφώνιον τιμᾶν. οἱ δὲ ἀγνοοῦντες, ὅπῃ εἴη τὸ μνῆμα, σμήνει μελισσῶν περιέτυχον 〈ἐξ〉 ὑπορρῶγός τινος ἀνιουσῶν. καὶ στοχασάμενοι τοῦτον εἶναι τὸν τόπον ἔκριναν ἁρμόττον ἀφ’ ἑαυτῶν

book 508a τινα κατελθεῖν. ὃς εὑρὼν δύο δράκοντας προήνεγκε μελιτούττας, καὶ οὐκ ἠδικήθη· ἐξ οὗ τὸ ἔθος ἐγένετο. οἱ δὲ βουλόμενοι χρηστηριασθῆναι ἁγνεύσαντες ὡρισμένας 〈ἡμέρασ〉 καὶ στολῇ κεκοσμημένοι θεοπρεπεῖ κατίασι τοὺς πλακοῦντας ἔχοντες πρὸς τὸ βάλλειν τοῖς ὄφεσι καὶ μὴ ἀδικηθῆναι ὑπ’ αὐτῶν· 〈καὶ〉 πολλοὶ μὲν αὐθημερὸν ἀνεπέμφθησαν δι’ αὐτοῦ τοῦ στομίου, οἱ δὲ καὶ διὰ πλειόνων. V

book 508b ὥσπερ εἰς Τροφωνίου: χρηστήριόν ἐστιν ἐν Λεβαδείᾳ, ὅ τινες Καταβάσιον καλοῦσιν. στόμιον γάρ τι ἐστίν, ὡς τὰ ἄκρα δύνασθαι μόνα τῶν ποδῶν χωρῆσαι. οἱ οὖν τῷ θεῷ χρώμενοι ἁγνεύσαντες πρῶτον ὡρισμένας ἡμέρας καὶ κοσμήσαντες ἑαυτοὺς ἱερῷ τινι σχήματι καὶ ἀμφοτέραις ταῖς χερσὶ τοιαύτας μάζας λαβόντες οὕτω καθίζουσιν ἐπὶ τὸ στόμιον, καὶ αἰφνίδιον ἁρπάζονται καὶ καταδύουσιν ὑπὸ τῆς γῆς. τὰς δὲ μάζας λαμβάνουσιν ὑπὲρ τοῦ μὴ ἀδικηθῆναι ὑπὸ τῶν συναντωμένων ὄφεων, ἀλλ’ ἐκείνας αὐτοῖς παραβάλλειν τροφήν. R

book 508c ὥσπερ ἐς Τροφωνίου ENM: ὁ Τροφώνιος ἐγένετο λιθοξόος ἄριστος· ὃς κατεσκεύασεν ἱερὸν ἐν τῇ Λεβαδείᾳ τῆς Βοιωτίας ὑπὸ γῆν, ὃ καλεῖται Τροφωνίου. ἐκεῖ οὖν οἱ μυούμενοι κάθηνται ἐπὶ τοῦ στόματος γυμνοί, καὶ ἁρπάζονται ὑπό τινων πνευμάτων καὶ φέρονται ὑπὸ τὴν γῆν. ἐπειδὴ δὲ ἀπαντῶσιν αὐτοῖς δαίμονες καὶ ὄφεις καὶ ἄλλα τινὰ ἑρπετά, κατέχουσι τινες πλακοῦντα καὶ ῥίπτουσιν ἐπὶ τὸ ἐκφυγεῖν. καὶ μετὰ τὴν μύησιν δι’ ἄλλου στόματος ἀναρριπτοῦνται. ENMAMatr

book 508d ἐν Λεβαδείᾳ ἱερόν ἐστι Τροφωνίου, ὅπου ὄφις ἦν ὁ μαντευόμενος· ᾧ οἱ κατοικοῦντες πλακοῦντας ἔβαλλον μέλιτι δεδευμένους. R

book 508e ἐς Τροφωνίου] τὸν οἶκον. E

book 509a τί κυπτάζεις REM ἔχων E: περιττεύει τὸ “ἔχων” ἀττικῶς. τὸ δὲ “κυπτάζεις”: στραγγεύῃ, διατρίβεις RVEM οὕτως ἐνταῦθα. RV

book 509b κυπτάζεις] ἀναβάλλῃ. E

book 510a ἀλλ’ ἴθι χαίρων RRs: παράβασις RVbisRs τοῦ χοροῦ. RV παράβασις δέ ἐστιν, ὅταν ἐκ τῆς προτέρας στάσεως ὁ χορὸς μεταβὰς οὕτως ἀπαγγέλλῃ πρὸς τὸν δῆμον. RVNRs εἴδη δὲ παραβάσεως ἑπτά, ἁπλᾶ τρία καὶ κατὰ σχέσιν τέσσαρα. τὰ μὲν οὖν ἁπλᾶ ἐστι ταῦτα· κομμάτιον· παράβασις ὁμωνύμως, ἣ καὶ ἀνάπαιστος καλεῖται, ἐπεὶ πολλάκις ἐν ταύτῃ ἀναπαίστῳ χρῆται· πνῖγος, VRs ὃ καὶ μακρόν. V τὰ δὲ κατὰ σχέσιν· στροφή, ἀντίστροφος, ἐπίρρημα, ἀντεπίρρημα. ἡ μὲν οὖν στροφὴ καὶ ἀντίστροφος συνεμπίπτουσι κατὰ τὸ μέτρον καὶ τὰ κῶλα· πάλιν τὸ ἐπίρρημα καὶ τὸ ἀντεπίρρημα. ἡ μὲν οὖν παράβασις ἡ ἐκ τούτων συγκειμένη τελεία ἐστίν. εἰσὶ δὲ καὶ ἀτελεῖς παραβάσεις, VRs ὧν ἐστι καὶ αὕτη. V

book 510b 〈κορωνίς·〉 εἰσίασι γὰρ οἱ ὑποκριταί. καὶ ἕπεται τοῦ χοροῦ ἡ ὑπόθεσις ἔχουσα ἐνθάδε κομμάτιον η′ κώλων, ὧν τὸ μὲν πρῶτον ”〈ἀλλ’〉 ἴθι” ἀναπαιστικὸν δίμετρον. τὸ δεύτερον ἀναπαιστικὸν μονόμετρον. τὸ τρίτον ἀπὸ χοριαμβικῆς εἰς ἰαμβικὴν βάσιν. τὸ δ′ ἰαμβικὸν ἑφθη〈μι〉μερές. τὸ ε′ χοριαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ϛ′ ἀπὸ ἰαμβικῆς βάσεως εἰς χοριαμβικήν. τὸ ζ′ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ η′ ὅμοιον 〈καταληκτικόν〉 Rs

book 513/4 προήκων … ἡλικίας] ἀντὶ τοῦ γηράσας. RE

book 516 χρωτίζεται] γυμνάζεται, E πλησιάζει. RENM

book 518a παράβασις ENMRs τοῦ χοροῦ. Rs

book 518b ὦ θεώμενοι κατερῶ: τοῦτο N δοκεῖ μὲν ὑπὸ τοῦ χοροῦ λέγεσθαι τὸ πρόσωπον τοῦ προλεγομένου. NRs

book 518c τοῦτο ἐκ τοῦ προσώπου τοῦ ποιητοῦ. E

book 518d ἐνταῦθα εἰσάγεται ὁ ποιητὴς ἐπενδυόμενος τὸ πρόσωπον τοῦ χοροῦ. Rs

book 518e παράβασις—ἣ καὶ ἀνάπαιστος· ἔστι δὲ τὸ μέτρον ἀσύστατον—στίχων με′. τὸ δὲ μέτρον καλεῖται εὐπολίδειον· ἔστι δὲ 〈ἐπιχοριαμβικόν, οὗ τὸ τροχαϊκὸν μέροσ〉 οὐ κατὰ τάξιν δέχεται τοὺς σπονδείους, ἀλλ’ ἔστι τὸ ὅλον καθαρὸν ἀντισπαστικόν. EMRsNp

book 518f ὦ θεώμενοι EMRs: τὸ χ, ὅτι E μετοχῇ ἀττικῶς ἐχρήσατο ἀντὶ ὀνόματος. EMRsNp

book 518g ὦ θεώμενοι] χ. E

book 519 νὴ τὸν Διόνυσον: ἐπειδὴ ἐν Διονυσίοις παρῆλθε τὸ δρᾶμα. καὶ γὰρ ἐν τοῖς διονυσιακοῖς ἀγῶσι καὶ τὰ δράματα ἤγετο καὶ ἐδιδάσκετο. EN

book 520 οὕτω νικήσαιμ’ ἔγωγε EMRs: διπλῆ 〈καὶ〉 ἔκθεσις εἰς 〈αὐτὴν〉 τὴν παράβασιν. οὐχ ἡ αὐτὴ δέ ἐστιν οὐδὲ τοῦ αὐτοῦ μέτρου τῇ ἐν ταῖς πρώταις Νεφέλαις, ἀλλ’ ἔστι τοῦ καλουμένου εὐπολιδείου. ENMRs

book 523a ἀναγεῦς’] ἀναδιδάξαι. RVENMARs

book 523b ἀναγεῦς’] τοῦτο ὡς ἐπὶ βρωμάτων εἶπεν. RVE

book 523c ἀναγεῦς’] θρέψαι τὸ δρᾶμα. V

book 523d ἣ] ἥτις. RRs

book 524a ἔργον] πόνον REMA ἐν τῷ ποιεῖν. ENMA

book 524b τοῦτο ἐπὶ τῶν προτέρων Νεφελῶν. RE

book 524c ὑπ’ ἀνδρῶν φορτικῶν] ὑπὸ τῶν κριτῶν. RENA

book 525 ταῦτ’ οὖν ὑμῖν μέμφομαι] ἐπεὶ οὐ Κρατίνου, ἀλλ’ Ἀμειψίου δεύτερος ὤφθη. E

book 528 οἷς ἡδὺ καὶ λέγειν] οἷς τὸ ἐμὲ ἐπιδείκνυσθαι ἡδύ ἐστιν· ἢ ἐλλογίμοις. RENp

book 529a ὁ σώφρων τε χὠ καταπύγων EM: πρῶτον δρᾶμα γράψας ἐξέθηκεν ὁ ποιητὴς τοὺς Δαιταλεῖς, ἐν ᾧ σῶφρον μειράκιον εἰσάγει καὶ ἕτερον ἄχρηστον. ηὐδοκίμησε δὲ σφόδρα ἐν τούτῳ τῷ δράματι. RVEMANp

book 529b ἄριστ' M ἠκουσάτην: ἀντὶ τοῦ REMNp "ηὐδοκίμησαν" REbis- NMbisNp

book 529b alpha —οὐ γὰρ τότε ἐνίκησε, δεύτερος δὲ ἐκρίθη—EMNp

book 529b beta —οὐ γὰρ "ἐνίκησαν", ἐπεὶ δεύτερος ἐκρίθη—R

book 529b ἐν τῷ δράματι. REMNp

book 529c διόπερ ἔστι μὲν αὐτὸ πρῶτον τῶν δραμάτων, ὑπὸ δὲ αἰδοῦς οὐ δι' ἑαυτοῦ ἐπεδείξατο αὐτό. EMNp

book 530a οὐκ ἐξῆν πώ μοι τεκεῖν EM: οὔπω ἐπέτρεπον ἐμαυτῷ τὸ λέγειν RVEM

book 530a alpha μὴ πληρώσαντι μ' ἔτη. E

book 530a beta διὰ τὴν αἰδῶ. RVM

book 530b alpha οὐ γὰρ πρῶτον δι' ἑαυτοῦ καθιεὶ〈σ〉 τὰ δράματα ὁ ποιητὴς εὐλαβούμενος, ἀπὸ τῶν Ἱππέων ἤρξατο εἰσιέναι. M

book 530b beta οὐ γὰρ δι' ἑαυτοῦ ἐξ ἀρχῆς καθῆκε τὰ δράματα ὁ ποιητὴς εὐλαβὴς ὤν. ἀπὸ δὲ τῶν Ἱππέων ἤρξατο δι' ἑαυτοῦ εἰσιέναι. RV

book 530c νόμος ἦν μὴ εἰσελθεῖν τινα καὶ εἰπεῖν μήπω πληρώσαντα τεσσαράκοντα ἔτη. M

book 530d κοὐκ ἐξῆν πώ μοι τεκεῖν] μὴ συγχωρούμενος πρὸ ὡρισμένου χρόνου. E

book 531a δηλονότι ὁ Φιλωνίδης καὶ ὁ Καλλίστρατος οἱ ὕστερον γενόμενοι ὑποκριταὶ τοῦ Ἀριστοφάνους. N

book 531b παῖς ... ἀνείλετο] ἕτερος ὑποκριτὴς ἀνελάβετο NM τοῦτο, ὁ Φιλωνίδης. N

book 531c ἀνείλετο] ἐδίδαξε τὸ δρᾶμα. E οὐ γὰρ δι' ἑαυτοῦ ἐδίδαξε τοὺς Δαιταλεῖς, πρῶτον 〈ὂν〉 αὐτοῦ δρᾶμα. RE

book 532 ἐξεθρέψατε] τὴν ποίησιν· ἀλληγορικῶς. E

book 533 ἐκ τούτου μοι πιστὰ R: ἐξ ἐκείνου τοῦ χρόνου φίλα μοί ἐστι τὰ πρὸς ὑμᾶς RVE καὶ πισταὶ συνθῆκαι. RV

book 534a νῦν οὖν E Ἠλέκτραν ENMRs: Αἰσχύλος ἐποίησε δρᾶμα Χοηφόρους, ἐν ᾧ Ἠλέκτρα παραγενομένη εἰς τὸν τάφον τοῦ πατρὸς ἐκ τοῦ πλοκάμου τὸν ἀδελφὸν ἐγνώρισεν. RVENMARsNp

book 534b παρ' Αἰσχύλῳ ἐν Χοηφόροις ἡ Ἠλέκτρα ἐκ τοῦ βοστρύχου ἐπιγινώσκει τὸν Ὀρέστην ἐληλυθότα. R

book 534c ὥσπερ ἡ Ἠλέκτρα, φησίν, οὕτω καὶ ἡ κωμῳδία RENNp εἰς ζήτησιν ἦλθε νῦν τῶν θεατῶν τῶν τότε· ἐπιγνώσεται γάρ, ἐάν τι σύμβολον ἴδῃ ἐκείνων. RENRsNp

book 534d αὕτη, φησίν, ἡ κωμῳδία ἀδελφὴ οὖσα τῆς πρώτης, ERsNp ὡς ἐν τοῖς Χοηφόροις Αἰσχύλου ENp Ἠλέκτρα ἀπὸ τοῦ πλοκάμου ἐπιγνοῦσα τὸν ἀδελφὸν καὶ παραγενομένη πρὸς τὸν τάφον, ὅπως αὐτὸν γνωρίσῃ, ἦλθεν. E

book 536a γνώσεται γάρ, ἤνπερ ἴδῃ: γνώσεται γὰρ E ἡ κωμῳδία VEN αὕτη V τοὺς θεατὰς ἐκείνης τῆς κωμῳδίας ἀδελφὴ αὐτῆς οὖσα. VEN

book 536b ἐπιγνώσεται, ἐὰν ἴδῃ. VE

book 536c ὅ ἐστι "σύμβολον ἐκείνων ENbis καὶ ἔπαινον". RENbisMatr

book 537a ἐπιγνῶναι ἔχετε, φησί, τὸ σπουδαῖον αὐτῆς τῆς τέχνης. E

book 537b ὡς ... ἐστὶ] αὕτη ἡ κωμῳδία. RERs

book 538a οὐδὲν] παρέλκει τὸ δεν, ὡς καὶ παρ' Ὁμήρῳ οὐδὲν ἔτισε. θέλει δὲ εἰπεῖν· ὅτι "οὐκ ἦλθε" συνήθως. E

book 538b σκύτινον: δέρμα. EM διεζωσμένοι γὰρ δερμάτινα αἰδοῖα οἱ κωμικοὶ εἰσῄεσαν τοῦ γέλωτος χάριν. RVEMANp

book 538c "φορτικῶς χαριεντιζομένη" VE θέλει εἰπεῖν. E

book 539 ἐρυθρὸν ἐξ ἄκρου EM: διχῶς. ἔδει γὰρ εἰπεῖν R ἢ ἐρυθρὸν ἐξ ἄκρου ἢ ἐξ ἄκρου παχύ. ταῦτα γὰρ οἱ κωμικοὶ εἰσῆγον διὰ γέλωτα. REM

book 540a οὐδ' ἔσκωψε τοὺς φαλακρούς: Εὔπολις· ἐποίησα τῷ φαλακρῷ κἀδωρησάμην. E

book 540b alpha οὐδὲ M κόρδαχ' εἵλκυσεν EM: τρία εἴδη ὀρχήσεως· ἐμμέλεια μὲν τραγική, σίκιννις σατυρική, κόρδαξ κωμική, ἥτις αἰσχρῶς δινεῖ τὴν ὀσφῦν. EMMatr

book 540b beta οὐδὲ κόρδακα R: εἶδος ὀρχήσεως κωμικῆς ἀσχήμονος. εἰσὶ δὲ τρία εἴδη ὀρχήσεως· ἐμμέλεια μὲν τραγικῆς, σίκιννις δὲ σατυρικῆς, κόρδαξ δὲ κωμικῆς. RV

book 541a οὐδὲ πρεσβύτης ὁ λέγων: ὡς Εὔπολις ἐν τοῖς Προσπαλτίοις. E

book 541b alpha τύπτει τῇ βακτηρίᾳ M: ὡς εἰς τοῦτο τὸ μέρος εὐεπίφορον ὄντα ENM τὸν Ἕρμιππον σκώπτει· οἱ δὲ Σιμέρμωνα τὸν ὑποκριτήν. EM

book 541b beta οὐδὲ πρεσβύτης R: τοῦτο εἰς V Ἕρμωνα λέγει τὸν ὑποκριτήν. RV

book 542a τύπτει τὸν παρόντα E: καὶ γὰρ ἐκεῖνος τοῦ γελᾶν χάριν τοὺς ἐγγὺς ἑστῶτας ἔτυπτε τῇ βακτηρίᾳ. RVEMNp

book 542b alpha ἀφανίζων: ὅ ἐστιν ἐκτοπίσας καὶ ἀποφυγὼν τὰ σκώμματα, δι' ὧν ἔδει σωφρονίζειν τοὺς κακῶς πράττοντας. ENNp

book 542b beta ἐκτὸς ἑαυτοῦ ποιήσας τὰ πονηρὰ σκώμματα τούτοις τοῖς γελοίοις χρῆται. VE ἔδει δὲ εἰς τὸ χρήσιμον τῶν Ἀθηναίων τὰ πονηρὰ σκώμματα λέγειν, δι' ὧν ἐπαιδεύοντο οἱ κακῶς πράττοντες. V

book 542c alpha ἀφανίζων ENp: ἀντὶ τοῦ "περικαλύπτων τῷ γέλωτι τὰς εἰκῇ διεσκεμμένας αὐτῷ κωμῳδίας". ENNp

book 542c beta ἀφανίζων πονηρὰ RE σκώμματα: τὰ φαῦλα σκώμματα, R ὅ ἐστι τὰς εὐτελῶς πεπλασμένας κωμῳδίας, ἀφανεῖς ποιῶν, τουτέστι περικαλύπτων τῷ γέλωτι RE καὶ τῇ παιδιᾷ. R

book 542d οἷον ἐπιτρίβων τὰ σκώμματα καίπερ πονηρὰ ὄντα. R

book 543a οὐδ' εἰσῆξε δᾷδας EM ἔχουσα M: οὐκ ἔστι δῆλος VEM ἐνταῦθα, V τίνι παρονειδίζει· ἀλλ' ἴσως ἑαυτῷ, ἐπεὶ πεποίηκεν ἐν τῷ τέλει τούτου τοῦ δράματος καιομένην τὴν διατριβὴν Σωκράτους καί τινας τῶν φιλοσόφων λέγοντας "ἰοὺ ἰού". VEM ἐν δὲ ταῖς πρώταις Νεφέλαις τοῦτο οὐ πεποίηκεν. ποιεῖ δὲ αὐτὸ μετὰ λόγου, οὗτοι δὲ ἀκαίρως. VE

book 543b ἰστέον, ὅτι πάντα ὅσα ἂν λέγῃ εἰς ἑαυτὸν τείνει. τοὺς μὲν γὰρ φάλητας εἰσήγαγεν ἐν τῇ Λυσιστράτῃ, τὸν δὲ κόρδακα ἐν τοῖς Σφηξί, τοὺς δὲ φαλακροὺς ἐν Εἰρήνῃ, τὸν δὲ πρεσβύτην ἐν Ὄρνισι, τὰς δὲ δᾷδας καὶ τὸ ἰοὺ ἰού" ἐν Νεφέλαις τὸ πρῶτον. EMatr Np

book 544 τοῖς ἔπεσι: τοῖς μέτροις ὅτι καὶ τὰ μέτρα ἔπη καλοῦσιν. R

book 545a οὐ κομῶ] ἀντὶ τοῦ "οὐ μέγα φρονῶ". RVE παίζει δὲ ὡς φαλακρός. E

book 545b οὐ κομῶ: οἷον E οὐ σεμνύνομαι. χαριέντως δὲ λέγει, ἐπεὶ φαλακρὸς ἦν. VERs

book 546

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καίτοι καὶ αὕτη δεύτερον εἰσήχθη. ἀλλ' ἴσως διαφόρως· δοκοῦσι δὲ οἱ ἄλλοι κωμικοὶ ἀπὸ τῶν αὐτῶν λημμάτων τὰ αὐτὰ εἰσάγειν δράματα. VE

book 547a καινὰς] ἀντὶ τοῦ "νέας, καὶ οὐ τὰς αὐτὰς πάλιν." R

book 547b ἰδέας] λείπει τῆς ποιήσεως. E

book 549a ὃς μέγιστον ὄντα R Κλέων': ὁ RV Κλέων ἀποθνήσκει ἐπὶ Ἀμεινίου. RVE πρὸ δὲ τούτου ἐστὶν Ἴσαρχος, ἐφ' οὗ αἱ VE πρῶται V Νεφέλαι εἰσήχθησαν. ὁ μέντοι Ἀνδροτίων ἐπὶ Ἀλκαίου φησὶ τοῦ μετὰ Ἀμεινίαν τὸν Κλέωνα δυσὶν ὕστερον ἔτεσι τεθνάναι τῆς τῶν Νεφελῶν διδασκαλίας. VE εἰκότως οὖν ὡς ἔτι περιόντι τῷ Κλέωνι λοιδορεῖται ὁ Ἀριστοφάνης οὐ μόνον ἐν τοῖς προκειμένοις, ἀλλὰ καὶ ἐν τοῖς ἑξῆς RVE ἣν Κλέωνα τὸν λάρον δώρων RE ἑλόντες καὶ κλοπῆς. R

book 549b ὃς E μέγιστον ὄντα EM Κλέων' ἔπαισεν M: ὡς περὶ ζῶντος αὐτοῦ διαλέγεται ἐν οἷς φησι Κλέωνα τὸν λάρον. καὶ Ἀνδροτίων δέ φησιν αὐτὸν ἐπὶ Ἀλκαίου τεθνάναι δυσὶν ἔτεσιν ὕστερον· Ἴσαρχος δέ, φησίν, ἐφ' οὗ αἱ πρῶται Νεφέλαι ἐδιδάχθησαν. πῶς οὖν δύναται καὶ τοῦ Μαρικᾶ μεμνῆσθαι, ὃς ἐδιδάχθη μὲν πρὸ τῶν Νεφελῶν, ὡς καὶ νῦν αὐτός φησιν, ἐκεῖ δὲ ὁ Εὔπολις ὡς τεθνηκότος Κλέωνος μέμνηται; ἤ, ἐπεὶ οὐ φέρονται αἱ διδασκαλίαι τῶν δευτέρων Νεφελῶν, οὐδὲν δυνάμεθα διαρθρῶσαι· ἢ Εὔπολις ἐπλάσατο τὴν Κλέωνος τελευτὴν ἐν τῷ Μαρικᾷ. EM

book 549c alpha ἔπαις' ἐς τὴν γαστέρα] ἔτυψα. ERs ἔγραψε γὰρ κατ' αὐτοῦ τοὺς Ἱππέας. E

book 549c beta ἔπαις' ἐς τὴν γαστέρα] ἔτυψα. E ἐν τοῖς Ἱππεῦσιν. RE

book 550 ἀντὶ τοῦ "ἠρκέσθην τῇ μιᾷ κωμῳδίᾳ". RVENp

book 551a οὗτοι] ἀντὶ τοῦ "οἱ ἄλλοι κωμῳδοί". VENA

book 551b λαβὴν] ἀντὶ τοῦ "ἀρχήν". RE

book 552a κολετρῶσ' EMNp ἀεὶ M: λέγει ὅτι ἀντὶ τοῦ R "κατὰ τοῦ κόλου τύπτουσιν". REbisMRsNp

book 552b κολετρῶσιν: ἀντὶ τοῦ R "καταπατοῦσιν". ἀπὸ τῶν τὰς ἐλαίας πατούντων. οἱ δὲ τὸ ἐνάλλεσθαι τῇ κοιλίᾳ RVEMNp καὶ τύπτειν εἰς τὴν γαστέρα· κόλον γὰρ τὸ παχὺ ἔντερον. ENp

book 553 δῆλον ὅτι πρῶτος ὁ Μαρικᾶς ἐδιδάχθη τῶν δευτέρων Νεφελῶν. RV- ENp Ἐρατοσθένης δέ φησι Καλλίμαχον ἐγκαλεῖν ταῖς διδασκαλίαις, ENp ὅτι φέρουσιν ὕστερον τρίτῳ ἔτει τὸν Μαρικᾶν τῶν Νεφελῶν, σαφῶς ἐνταῦθα εἰρημένου, ὅτι πρῶτος καθεῖται. λανθάνει δὲ αὐτόν, φησίν, ὅτι ἐν μὲν ταῖς διδαχθείσαις οὐδὲν τοιοῦτον εἴρηκεν· ἐν δὲ ταῖς ὕστερον διασκευασθείσαις εἰ λέγεται, οὐδὲν ἄτοπον· αἱ διδασκαλίαι δὲ δηλονότι τὰς διδαχθείσας φέρουσιν. πῶς δ' οὐ συνεῖδεν, ὅτι καὶ ἐν τῷ Μαρικᾷ προτετελεύτηκε Κλέων, ἐν δὲ ταῖς Νεφέλαις λέγεται εἰς τὸν θεοῖσιν ἐχθρὸν τὸν βυρσοδέψην; E

book 554a Εὔπολις ἐν τοῖς Βάπταις τοὐναντίον φησίν, ὅτι συνεποίησεν Ἀριστοφάνει τοὺς Ἱππεῖς. λέγει δὲ τὴν τελευταίαν παράβασιν. φησὶ δὲ κἀκεῖνος τοὺς Ἱππέας συνεποίησα τῷ φαλακρῷ κἀδωρησάμην. E

book 554b ἐκστρέψας] συλήσας, VE μεταβαλών. ENMRs

book 554c πάντα τὰ ἐμά, φησίν, ἔλαβεν. VEM

book 555 προσθεὶς VE αὐτῷ E γραῦν VEM μεθύσην VM: τὴν μητέρα Ὑπερβόλου RVENM τὴν δοκοῦσαν. RVEM

book 555/6a ἣν Φρύνιχος: φαίνεται ὑπεύθυνος Φρύνιχος· μήποτε οὖν ἐκείνην 〈εἰσήγαγε〉 χλευάζων ὡς γραῦν ἐκκειμένην τῷ κήτει, καὶ ἴσως ἐν ὑπερβολῇ ἂν λέγοι αὐτός, ὅτι "τὸ κῆτος ἤσθιεν". E

book 555/6b alpha ἣν Φρύνιχος M: εἰσήγαγε γραῦν Φρύνιχος ὑπὸ κήτους ἐσθιομένην κατὰ μίμησιν Ἀνδρομέδας διὰ γέλωτα τῶν θεατῶν. ἦν δὲ αὐτὸς κωμῳδίας ποιητής. EM

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 555/6b beta ἣν Φρύνιχος R: κωμῳδίας ποιητὴς ὁ Φρύνιχος, ὃς εἰσήγαγε γραῦν ἐσθιομένην ὑπὸ κήτους κατὰ μίμησιν Ἀνδρομέδας διὰ γέλωτα τῶν θεωμένων. ἴσως δὲ νῦν ἐν ὑπερβολ*** αὐτὴν τὸ κῆτος ἤσθιεν. R

book 557a εἶθ' Ἕρμιππος EM: Ἕρμιππος μὲν δρᾶμα οὐκ ἐποίησεν εἰς Ὑπέρβολον, ἔοικε δὲ πλείστας ἀρτοπώλιδας λεχθέντα κατ' αὐτοῦ σημαίνειν. RVEM

book 557b ἐν ταῖς Ἀρτοπώλισι πολλὰ κατ' αὐτοῦ εἶπεν Ἕρμιππος. EM

book 558a καὶ γὰρ Πλάτων ὅλον δρᾶμα ἔγραψεν εἰς Ὑπέρβολον. RVE

book 558b ἐρείδουσιν] τὰ ποιήματα αὐτῶν. E

book 559a τὰς εἰκοῦς E τῶν ἐγχέλεων RE: ἀντὶ τοῦ "τῶν λέξεων" RVbis- ENAMatr Np εἰπεῖν "ἐγχέλεων" εἶπε, VENp

book 559a alpha παρόσον ἐν τοῖς Ἱππεῦσιν ἐμνήσθη τῶν ἐγχέλεων· E

book 559a beta ἐμνημόνευσε γὰρ ἐγχέλεων ἐν Ἱππεῦσιν· V

book 559a ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πέπονθας. VE τὸ δὲ διὰ παραβολῆς εἰκάζειν τῆς πόλεως τὰ πράγματα ἐξ αὐτοῦ φησιν εἰληφέναι τοὺς ἄλλους ὁ Ἀριστοφάνης. E

book 559b τὰς εἰκοῦς τῶν ἐγχέλεων] τὰς εἰκόνας. VENARs τοὺς Ἱππεῖς 〈αἰνίττεται〉. ἔδει δὲ εἰπεῖν "τῶν λόγων". E

book 560 ὅστις ἐκείνοις τέρπεται τοῖς ἐμοῖς μὴ προσίτω. R

book 562alpha εὖ φρονεῖν δοκήσετε: 〈παρ' ὑπόνοιαν·〉 δέον γὰρ εἰπεῖν "ἐλεύσεσθε" ἐπήγαγεν ὅτι· φρόνιμοι δόξετε εἶναι εὔνομοι καὶ εὖ φρονοῦντές μοι· διὸ τὸ χ. M

book 562beta ἀντὶ τοῦ εἰπεῖν "ἐλεύσεσθε" τοῦτο παρ' ὑπόνοιαν ἐπήνεγκεν, ὅτι· φρόνιμοι δόξετε εἶναι. RV

book 563a ὑψιμέδοντα μὲν θεὸν E: διπλῆ καὶ εἴσθεσις εἰς συζυγίαν ἐπιρρηματικήν. ἡ 〈μελικὴ〉 περίοδος δέ ἐστι κώλων ιγʹ, αἱ δὲ ἐπιρρηματικαὶ στίχων κʹ τροχαϊκῶν τετραμέτρων καταληκτικῶν ἐν ἐκθέσει. τῶν ιγʹ τὰ μὲν τρία χοριαμβικὰ ἐπιμεμιγμένα ταῖς ἰαμβικαῖς δίμετρα, ἀκατάληκτα τὰ βʹ, τὸ δὲ γʹ καταληκτικὸν 〈κατὰ τὸ〉 ἰαμβικόν. τὸ δὲ δʹ ὅμοιον τοῖς πρώτοις χοριαμβικὸν δίμετρον ἀκατάληκτον, τὸ εʹ χοριαμβικὸν καθαρόν, τὸ ϛʹ ἐπίμικτον τρίμετρον κατὰ μέσην ἔχον τὴν χοριαμβικήν· ERsNp τὰ δὲ γʹ ταῦτα συναγόμενα ποιεῖ δύο ὅμοια τοῖς Ἀνακρέοντος τριμέτροις· ἀντὶ τοῦ 〈βʹ〉 τετράμετρον καταληκτικόν. ENp τὸ ζʹ δακτυλικὸν τετράμετρον. τὸ ηʹ δακτυλικὸν πενθημιμερές.

book 563a τὸ θʹ ἀναπαιστικὸν ἰσοκατάληκτον. τὸ ιʹ ἀπὸ ἰαμβικῆς βάσεως εἰς χοριαμβικήν. τὸ ιαʹ δακτυλικὸν ἑφθημιμερές. τὸ ιβʹ γλυκώνειον. τὸ ιγʹ φερεκράτειον. ERsNp

book 563b μέλος χοροῦ. Rs

book 563c στροφή. ENpbis ἐν δὲ τῇ στροφῇ ἐπίκλησιν ἐποιοῦντο τῶν θεῶν. ENp

book 563d ὑψιμέδοντα: τὸν Δία ἐπικαλοῦνται, ὃν οἱ φιλόσοφοι εἶναι οὐκ ἔφασκον, ἀλλὰ ταύτας εἶναι τὸ πᾶν διεβεβαιοῦντο. εἰκότως οὖν καὶ διὰ τούτων σκώπτει τοὺς φιλοσόφους. ὃν γὰρ αὐτοὶ οὐκ ἔφασκον, αἱ νομιζόμεναι ὑπ' αὐτῶν θεαὶ τοῦτον ἐπεκαλοῦντο. E

book 566a τόν τε μεγασθενῆ: ὅτι ἔθος τοῖς ποιηταῖς ἀπὸ Διὸς ἄρχεσθαι, μετὰ δὲ τὸν Ποσειδῶνα ὑμνήσωμεν καὶ αὐτὸς τὴν ὁμηρικὴν τάξιν τῆς ἡλικίας δηλῶν. EMMatr

book 566b ἔθος τοῖς ποιηταῖς τὴν ἀρχὴν τῶν ποιημάτων ἀπὸ τοῦ Διὸς ποιεῖσθαι. ἐν πρώτοις οὖν, φησί, τὸν Δία ὑμνήσωμεν, μετὰ δὲ τοῦτον τὸν Ποσειδῶνα, καὶ αὐτὸς τὴν ὁμηρικὴν τάξιν τῆς ἡλικίας δηλῶν. RV

book 567 γῆς τε καὶ E ἁλμυρᾶς RE: δοκεῖ γὰρ ὁ Ποσειδῶν οὐ τὴν θάλασσαν μόνον, ἀλλὰ καὶ τὴν γῆν κινεῖν. RVE

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 567alpha ἔχει δὲ καὶ κοινωνίαν πρὸς αὐτὰς ὡς δεσπόζων ὑγρᾶς οὐσίας. E

book 567beta καλῶς δὲ μετὰ τὸν Δία τὸν Ποσειδῶνα πεποίηκεν ὑμνούσας τὰς Νεφέλας. ἔχει γὰρ καὶ οὗτος κοινωνίαν τινὰ πρὸς αὐτὰς τῆς ὑγρᾶς οὐσίας δεσπόζων. RV

book 570a alpha Αἰθέρα σεμνόν E: ἀντὶ τοῦ “ἀέρα”. EMbis ὁ γὰρ αἰθὴρ διακαὴς ὢν ἀνέφελός ἐστιν. καὶ ἐκ τοῦ “βιοθρέμμονα” δῆλον, ὅτι ἀήρ, οὐχὶ αἰθήρ. EM

book 570a beta Αἰθέρα: τὸν ἀέρα· ὁ γὰρ αἰθὴρ ἀνέφελος. καὶ βιοθρέμμων ὁ ἀήρ, οὐχ ὁ αἰθήρ. RV

book 570b βιοθρέμμονα: ἐπειδὴ ἀρδεύει τὴν γῆν. E

book 570c ἐπειδὴ EM τὰ ζῷα ἐν τῷ ἀέρι ἔχει τὴν ζωήν. RVEM

book 571a τόν θ’ ἱππονώμαν RENp : τὸν ἥλιον RVEAMatr Np τὸν ἐλαύνοντα καὶ νωμῶντα τὸ ἅρμα καὶ τοὺς ἵππους ἡνιοχοῦντα. VEMatr Np

book 571b ἐξ αὐτοῦ δοκοῦσι συνεστάναι· ENp διάπυρος γὰρ ὢν ἕλκει εἰς ἑαυτὸν τὴν τῆς θαλάττης ὑγρότητα, ἐξ ἧς αἱ νεφέλαι. E

book 571c alpha εἰκότως τῶν θεῶν τούτων ἐμνημόνευσεν· τοῦ μὲν Διός, ὅτι γενάρχης· τοῦ δὲ Ποσειδῶνος, ὅτι τῶν ὑγρῶν δεσπότης· τοῦ δὲ Ἀέρος, ὅτι πατήρ· Ἡλίου δέ, ἐπειδὴ διάπυρος ὢν τὴν ἰκμάδα ἐπισπώμενος ἐργάζεται νεφέλην. EMatr

book 571c beta εἰκότως τῶν θεῶν τούτων ἐμνημόνευσεν, ἐπειδὴ αἱ νεφέλαι ἐξ αὐτῶν συνεστάναι δοκοῦσιν· ἀπὸ μὲν Διός, ὅτι γενάρχης· ἀπὸ δὲ Ποσειδῶνος, ὅτι τῆς ὑγρᾶς οὐσίας δεσπότης· ἀπὸ δὲ Ἡλίου, ὅτι δοκεῖ διάπυρος ὢν ἕλκειν εἰς ἑαυτὸν τὴν τῆς θαλάσσης ὑγρότητα, ἐξ ὧν αἱ νεφέλαι. RV

book 575 575] ἐπίρρημα ERs Matr τροχαϊκὸν κ′ στίχων τετραμέτρων καταληκτικῶν. ERs

book 577 πλεῖστα γὰρ θεῶν: ἀνθ’ ὅτου ἐξ ὑετοῦ ἕλκουσιν Ἀθηναῖοι τὸ ζῆν. EMatr

book 580a μηδενὶ ξὺν νῷ REM:

book 580a alpha σὺν μηδεμιᾷ κρίσει, EM μετ’ οὐδενὸς νοῦ, EMbis

book 580a beta μηδεμιᾷ διανοίᾳ RV γινομένη V καὶ κρίσει, RV

book 580a ἀλλ’ ἀσυμφόρως καὶ ἀκαίρως, μετὰ μηδενὸς λογισμοῦ, οἷον προπετῶς. RVEM

book 580b ψυκάζομεν (sic)] ὑπὲρ τοῦ ἐπισχεῖν τὴν ἔξοδον. E

book 581 ἐκ τῶν πρώτων Νεφελῶν εἰσι ταῦτα· τεθνεὼς γὰρ ἦν νῦν Κλέων. EM

book 582a τὰς ὀφρῦς συνήγομεν REM: συννέφειαν ἐποιοῦμεν. RVEMbisMatr

book 582b τὰς ὀφρῦς συνήγομεν] ἐχαλεπαίνομεν. RVEMbis

book 582c ἐστυγνάζομεν. RVE

book 582d τὰς ὀφρῦς συνήγομεν] ἐπεὶ καὶ ὁ Κλέων τοιοῦτος. εἶπε δὲ ἀνωτέρω, ὅτι πάντας μιμοῦνται. E

book 583 βροντὴ δ’ ἐρράγη E: παρὰ τὰ ἐκ Τεύκρου Σοφοκλέους οὐρανοῦ δ’ ἄπο ἤστραψε, βροντὴ δ’ ἐρράγη δι’ ἀστραπῆς. VE

book 584 ἡ σελήνη δ’ ἐξέλιπεν EM: ἐπειδὴ ἔκλειψις ἐγένετο σελήνης VEM

book 584alpha τῷ προτέρῳ ἔτει ἐπὶ Στρατοκλέους βοηδρομιῶνος. VE

book 584beta ἡνίκα Κλέων ἐχειροτονεῖτο στρατηγός. M

book 585a τὴν θρυαλλίδ’ RENNp εἰς ἑαυτόν E: τὴν ἀκτῖνα RVENMRsNp εἰς ἑαυτὸν RVENNp συστείλας. RVENMNp

book 585b ἀπὸ τοῦ λύχνου ἡ μεταφορά. VENMNp

book 585c ἡλίου ἐγένετο κατά τινα τύχην ἔκλειψις Κλέωνος χειροτονουμένου. RVENA

book 585d

οὐχ ὡς τοῦ ἡλίου ἐκλείψαντος, ἀλλ' ὡς ἀπειλοῦντος ἐκλείψειν, εἰ στρατηγήσοι Κλέων. VENMNp

book 585e παρὰ τὸ ὁμηρικὸν δύσομαι εἰς Ἀΐδαο καὶ ἐν νεκύεσσι φαείνω. RVEN

book 587a φασὶ γὰρ δυσβουλίαν E: ἀποτυχόντα φασὶ Ποσειδῶνα τῆς χώρας τὸ κακῶς βουλεύεσθαι ἐνσκῆψαι αὐτοῖς, τὴν δὲ Ἀθηνᾶν παρασχεῖν δωρεὰν τὸ κακῶς βουλεύεσθαι μέν, ἐκκλῖναι δὲ καλῶς. VEMatr καὶ ἦν τοῦτο λεγόμενον ἐπιχώριον· καὶ Εὔπολις ὦ πόλις 〈πόλισ〉, ὡς εὐτυχεῖς μᾶλλον ἢ κακῶς φρονεῖς. VE

book 587b φασὶ γὰρ δυσβουλίαν N: φασίν, ὅτι Ποσειδῶν ἡττηθεὶς τῇ Ἀθηνᾷ δυσβουλίαν ἐπέβαλε τοῖς Ἀθηναίοις, Ἀθηνᾶν δὲ τὰ βουλευόμενα κακῶς, μεταβάλλειν. EN

book 587c τῇδε τῇ πόλει προσεῖναι: Ποσειδῶν ὀργισθεὶς Ἀθηναίοις διὰ τὴν εἰς Ἀθηνᾶν ἧτταν ἔδωκεν αὐτοῖς κακοβουλίαν, ἡ δὲ Ἀθηνᾶ τὰ κακῶς βουλευόμενα 〈εἰσ〉 εὐτυχίαν μετέβαλεν. M

book 587d οὐκ ὀρθῶς ἡ βουλή. E

book 589 ἐπὶ τὸ βέλτιστον τρέπειν E: ὅσα οἱ Ἀθηναῖοι κακῶς ἐβουλεύσαντο, δι' ὑπερβάλλουσαν εὐτυχίαν εἰς τὸ χρήσιμον ἀπέβαινε καὶ εἰς τὸ καλόν. RE αἰνίττεται δὲ εἰς Ἀθηνᾶν. E

book 591a ἢν Κλέωνα τὸν λάρον R: καὶ μὴν ὡς μετὰ θάνατον Κλέωνος φαίνεται γεγραφὼς τὸ δρᾶμα, ὅπου γε τοῦ Μαρικᾶ Εὐπόλιδος μέμνηται, ὃ ἐδιδάχθη καθ' Ὑπερβόλου μετὰ τὸν θάνατον Κλέωνος. ταῦτα δὲ ὡς ἔτι ζῶντος Κλέωνος λέγεται. RE δῆλον οὖν, ὅτι μετὰ πολλοστοὺς χρόνους διεσκεύασε τὸ δρᾶμα· καὶ ταῦτα μὲν οὐ πολλῷ ὕστερον, ἔν τισι δὲ Εὐπόλιδος μέμνηται καὶ τῶν εἰς Ὑπέρβολον κωμῳδιῶν. E

book 591b ταῦτα ἀπὸ τῶν προτέρων Νεφελῶν· τότε γὰρ ἔζη ὁ Κλέων, ἐπὶ δὲ τούτων τέθνηκεν. EMatr καὶ γὰρ Εὔπολις μετὰ θάνατον Κλέωνος τὸν Μαρικᾶν ἐποίησεν. E

book 591c τὸν λάρον REM: τὸν ἅρπαγα· RVEbisMMatr ὅτι καὶ ὁ λάρος τοιοῦτος. REMMatr καὶ ἐν Ἱππεῦσι λάρος κεχηνὼς ἐπὶ πέτρας δημηγορῶν. RVEMatr

book 595a μέλος EN χοροῦ. E

book 595b ἀντῳδή, RERsNp ἥτις καὶ RENp ἀντιστροφή. RVENNp ἔστι δὲ καὶ τὸ μέτρον καὶ ἡ ποσότης ὁμοία τῇ στροφῇ. ὡμοίωται δὲ καὶ τὸ ἐπίρρημα καὶ τὸ ἀντεπίρρημα. ENp

book 595c alpha ἀμφί μοι αὖτε E: μιμεῖται τῶν διθυραμβοποιῶν καὶ κιθαρῳδῶν τὰ προοίμια. συνεχῶς γὰρ ἐκεῖνοι ταύτῃ χρῶνται τῇ λέξει· διὸ καὶ ἀμφιάνακτας αὐτοὺς ἐκάλουν E- RsNp ἔστι δὲ τοῦ Τερπάνδρου ἀμφ' ἐμοὶ ἄνακτα ἑκατηβόλον. ERs λείπει δὲ τὸ ἔσο ἢ τὸ χόρευε EbisRs- Np ἤ τι τοιοῦτον. ERs

book 595c beta ἀμφί μοι αὖτε: ἐκ τῶν Περιάνδρου προοιμίων· καὶ γὰρ ἐκεῖνος οὕτως ἤρξατο· ἀμφί μοι αὖτις ἄνακτα. R

book 595c καὶ τὸ προοιμιάζεσθαι δὲ ἀμφιανακτίζειν ἔλεγον. RERs

book 595d ἀμφί μοι αὐτῷ R: εἰκότως ERsNp μετὰ τὸν Ἥλιον ἀνυμνοῦσι τὸν Ἀπόλλωνα. RERsNp ὅτι δὲ ὁ αὐτός ἐστι Δήλιος καὶ Ἀπόλλων, δῆλον. RENp

book 595e αὖτε RERsNp: ἀντὶ τοῦ “πάλιν”· REbisNRsNp ὥσπερ γὰρ ἀναλαμβάνων πρὸς τὸ ἄνω λέγει RERsNp ἀντίστροφον. VERsNp ἔφαμεν γὰρ ἐν τοῖς χορικοῖς γίνεσθαι τὰς στροφὰς καὶ τὰς ἀντιστρόφους καὶ τὰς ἐπῳδούς, αἵτινες καλοῦνται ἐπιρρήματα· ὥσπερ οὖν καὶ ἐνταῦθα τὴν ἀντίστροφον ἐπήγαγεν ὁ ποιητὴς ἀναστρέφων ἐπὶ τὸ ἐξ ἀρχῆς μέλος, ὅθενπερ ἐξετράπη εἰς τὸ ἐπίρρημα. ἀρξάμενος γὰρ ὑμνεῖν τοὺς θεοὺς καὶ παραγενόμενος μέχρι τοῦ Ἡλίου VERs ἐπήγαγε τὴν ἐκτροπήν, τουτέστι τὸ ἐπίρρημα, ἀπὸ τοῦ “ὦ σοφώτατοι θεαταί, VERsNp δεῦρο

τὸν νοῦν προσέχετε”. V οὔτε γὰρ ἡ διάνοια τοῖς προειρημένοις ἀκόλουθος οὔτε τὸ μέτρον τοῦ λόγου· πάλιν οὖν

book 595e ἐπανατρέχων ἐπὶ τὸν ὕμνον τῇ τῶν θεῶν χρῆται ἐπαναστροφῇ. VERsNp εἰ γοῦν τις τὰ ἐν μέσῳ ἅπαντα ἀφελὼν ἐπὶ ταῦτα ἔλθοι, VERs οὐδὲν ἂν V οὔτε ὁ λόγος οὔτε ὁ νοῦς ἐπιζητήσειεν, ἀλλὰ μᾶλλον ἀκολουθία φυλάττοιτο· “τόν θ’ ἱππονώμαν, ὃς ὑπερλάμπροις ἀκτῖσι” καὶ τὰ ἑξῆς “ἀμφί μοι αὖτε Φοῖβ’ ἄναξ”. φησὶν οὖν· ἀλλὰ σοῦ πάλιν, ὦ Ἄπολλον, ἕξομαι, καὶ τῶν σῶν ἐπαίνων. VERs οὐ μὴν ἁπλῶς ἐπὶ τὴν ἀντίστροφον ἐλθὼν θεοῦ τινος ἐμνημόνευσεν, ἀλλὰ μετὰ τὸν Ἥλιον ἑξῆς τὸν Ἀπόλλωνά φησιν, ἐπεί τινες τὸν Ἥλιον τὸν αὐτὸν εἶναι λέγουσι τῷ Ἀπόλλωνι. VE ὅτι δὲ καὶ ὁ ποιητὴς τῷ λόγῳ τούτῳ κατακολουθῶν μετὰ τὸν Ἥλιον ἐπὶ τὸν Ἀπόλλωνος ἔρχεται ὕμνον, φανερὸν ποιεῖ αὐτὸς λέγων “ἀμφί μοι αὖτε, Φοῖβε”, τουτέστι πάλιν.

book 595e οὐδαμοῦ γὰρ νῦν τοῦ Ἀπόλλωνος μέμνηται. τί οὖν ἔδει μνημονεῦσαι τοῦ “αὖτε”, εἰ μὴ τῆς προειρημένης διανοίας εἴχετο; E

book 596/7 κυνθίαν ἔχων ὑψικέρατα πέτραν E: περιφραστικῶς τὴν Κύνθον. ἔστι δὲ ὄρος RE Δήλου ἡ Κύνθος. E

book 597a ὑψικέρατα πέτραν: ἐπῳδός ἐστιν. τὸ αὐτὸ μέτρον τῷ μέλει, τὸ α′ καὶ ἑξῆς οὕτως. E

book 597b ὑψικέρατα R: ἔστι παραγώγως E ἀντὶ τοῦ “ὑψηλήν”. μεταπλασμὸς δέ ἐστιν ἀντὶ τοῦ “ὑψικέρατον”. RE

book 598a ἥ τ’ Ἐφέσου M: μετὰ τὸν Ἥλιον εὐθὺς τὴν Ἄρτεμιν REM ὑμνεῖ. M

book 598b μάκαιρα] τὴν Ἄρτεμιν λέγει. E

book 600a ἔνθα σε αἱ παρθένοι Λυδῶν RVENp τιμῶσιν, RVENMNp ὦ Ἄρτεμι. RVENp

book 600b alpha ὅτι τῆς Λυδίας τὸ παλαιὸν ἡ Ἔφεσος VENp ἦν. V

book 600b beta Λυδῶν] ἧς ἦν ἡ Ἔφεσος. RE

book 602a ἡ Ἀθηνᾶ· RVE παρὰ τὸ ὁμηρικὸν αἰγίδ’ ἔχους’ ἐν χειρί. RE

book 602b πολιοῦχος] ἔχουσα τὴν πόλιν. E

book 603 παρνασσίαν ὃς κατέχων E: παρὰ τὸ εὐριπίδειον Διόνυσος, ὃς πεύκαισι καὶ νεβρῶν δοραῖς VE καθαπτὸς ἐν πεύκαισι Παρνασσὸν κάτα πηδᾷ χορεύων σὺν παρθένοις. E

book 604a σὺν πεύκαις ENp σελαγεῖ RENp: μετὰ λαμπάδων καὶ πυρὸς χορεύει· διάπυρος γὰρ ὁ θεός. RVEMNp καὶ ὁ Ζεὺς διὰ πυρὸς τῇ Σεμέλῃ συνῆλθεν. οὐ γὰρ ἀργῶς τοῦτο παρέλαβεν ὁ ποιητής. RVE

book 604b σελαγεῖ] λάμπει. VERs

book 605a Βάκχαις V δελφίσιν ἐμπρέπων VE: καὶ γὰρ ἐκεῖ ἐτιμᾶτο ὁ Διόνυσος. RVE

book 605b alpha δελφίσιν Βάκχαις: εἰς τὴν δελφικὴν χώραν ἡκούσαις. E

book 605b beta δελφίσιν VM Βάκχαις M: ταῖς τὴν δελφικὴν χώραν κατοικούσαις. VM

book 606 κωμαστὴς M: ὅτι καὶ οἱ μεθύοντες βακχεύονται καὶ ὥσπερ ἐκμαίνονται. EMNp

book 607a ἀντεπίρρημα. E

book 607b τὸ ἀντεπίρρημα ὅμοιον τῷ ἐπιρρήματι. RE

book 609a πρῶτα μὲν χαίρειν EM: τὸν Κλέωνά φασιν ἀπὸ τῆς Πύλου καὶ Σφακτηρίας τοῖς Ἀθηναίοις ἐπιστέλλοντα “χαίρειν” προθεῖναι· RVEM ὅπερ γέγονεν ἐν χρήσει. RVE

book 609b alpha ἀρχαῖον ἦν ἔθος προτάσσειν ἐν ταῖς ἐπιστολαῖς τὸ χαίρειν. οὐ γάρ, ὥς τινες, Κλέων πρῶτος οὕτως ἐπέστειλεν Ἀθηναίοις ἐκ Σφακτηρίας. E

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 609b beta ἀρχαῖον ἔθος τὸ ταῖς ἐπιστολαῖς προτιθέναι τὸ χαίρειν, καὶ οὐκ ἔστι Κλέων ὁ πρῶτος οὕτως ἐπιστείλας, ὥς τινες. RV

book 610 θυμαίνειν] ὀργίζεσθαι. VENMARs

book 611 οὐ λόγοις] ἀλλ' ἔργοις. E

book 614 φῶς Σεληναίης καλόν] τῆς γὰρ σελήνης φαινούσης οὐχ ἅπτουσι τοὺς λύχνους. RE

book 615a ἄλλα τ' εὖ δρᾶν φησιν EM: καὶ εἰς ἄλλα φησὶν ὑμᾶς RVEM εὐεργετεῖν. RVENMbis

book 615b οὐκ ἄγειν τὰς ἡμέρας R: οὐ παρατηρεῖν RVEM ἀκριβῶς RVEbisM τὰς κατὰ τὴν σελήνην ἡμέρας. RVEM

book 616 κυδοιδοπᾶν REMNp: συνταράττειν. RVENp γίνεται δὲ ἐξ ἑκατέρου VEMNp

book 616alpha · ἐὰν μὲν διὰ τοῦ κ, παρὰ τὸ κυκᾶν, ἐὰν δὲ διὰ τοῦ δ, παρὰ τὸν κυδοιμόν. EMNp

book 616beta τὸ ταράττειν· τὸ μὲν ἀπὸ τοῦ κυκᾶν, τὸ δὲ V ἀπὸ τοῦ κυδοιμοῦ. RV

book 618a ψευσθῶσιν EM: ἀποτύχωσιν. RVEbisNMbis

book 618b μὴ δέξωνται θυσίας. EM

book 619a κατὰ λόγον RV: κατὰ τὸ ἔθος, E εὐτάκτως RVEbisM καὶ ὡρισμένως. RVE

book 619b κατὰ λόγον τῶν ἡμερῶν E: διὰ γὰρ τὸ πλανᾶσθαι τὴν τάξιν τῶν ἡμερῶν ὑπερβαίνειν τὰς δεήσεις καὶ τὰς ἑορτὰς ἀνάγκη. RVEMMatr

book 621a ἀπαστίαν: ἀντὶ τοῦ Mpr. "νηστείαν, RVNMalt.A ἀγευστίαν." VENMbis παρὰ τὸ πάσασθαι. ἀπὸ δὲ τοῦ πενθεῖν. V

book 621b διαβάλλει τοὺς ποιητάς. RVEN

book 623a ἀνθ' ὧν λαχὼν Ὑπέρβολος RE: εἰς τὴν σύνοδον τῶν Ἀμφικτυόνων πεμφθῆναι εἰς τὴν Πυλαίαν. κατὰ πόλιν δ' ἔπεμπον τοὺς θύσοντας καὶ συνεδρεύσοντας· καὶ ἦσαν οἱ πεμπόμενοι πυλαγόραι καὶ ἱερομνήμονες. λέγουσι δέ, ὅτι Πυλάδης πρῶτος ἐκρίθη ἐπὶ τῷ Κλυταιμνήστρας φόνῳ, καὶ ἐξ αὐτοῦ τοὔνομα σχεῖν τὸν τόπον. ἀπῄεσαν δὲ εἰς Δελφοὺς ἐπίσκοποι τῶν ἀναλισκομένων ἐν ταῖς θυσίαις. RVE

book 623b ἱερομνήμονα ἔπεμπον εἰς Πυλαίαν καὶ πυλαγόρους. Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις ἀγαθὰ μεγάλα τῇ πόλει ἥκειν φέροντά φασι τοὺς πυλαγόρους ἐκ τῆς Πυλαίας καὶ τὸν ἱερομνήμονα. καί εἰσιν οἷον ἱερογραμματεῖς· μνήμονας γὰρ τούτους ἐκάλουν· φόρτου τε μνήμων καὶ ἐπίσκοπος ᾖσιν ὁδαίων. E

book 624a τῆτες ἱερομνημονεῖν RE: ἐξέπεμπον γὰρ Ἀθηναῖοι εἰς Δελφοὺς ἱερομνήμονας, οἳ πρὸ πυλαγόρου προειστήκεσαν τῶν ἱερῶν τοῦ θεοῦ. RVEMNp

book 624a alpha οὐδεὶς δ' ἱστόρησε κατ' ἐκεῖνον τὸν ἐνιαυτὸν ἱερομνήμονα εἶναι τὸν Ὑπέρβολον. ENp οὐδέπω γὰρ διέπρεπε Κλέωνος ἔτι ζῶντος. E

book 624a beta παρ' ἱστορίαν δὲ εἶπε τὸ "τῆτες"· οὐδεὶς γὰρ ἱστορεῖ RV ἐν ἐκείνῳ τῷ ἔτει RbisV ἱερομνήμονα εἶναι Ὑπέρβολον, ἐν ᾧ αἱ Νεφέλαι ἐδιδάχθησαν. οὐδέπω γὰρ διέπρεπε Κλέωνος ἔτι ζῶντος· μετὰ γὰρ τὸν ἐκείνου θάνατον ἠξιώθη. RV

book 624b alpha τῆτες] εἰς τοῦτον τὸν ἐνιαυτόν. E

book 624b beta τούτῳ τῷ ἔτει. V

book 624c περισσὸν τὸ "κᾆπειθ'". VE

book 625 μᾶλλον γὰρ οὕτως εἴσεται E: τότε γὰρ μαθήσεται, ὅτι καλόν ἐστι ζῆν αὐτὸν ὡς τὸ πρότερον, καὶ ὡς ἀνάξιος ἦν. EM

book 627a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὰ τὴν Ἀναπνοήν E: δυσφορεῖ RENAMatr ὁ Σωκράτης RN ἐπὶ τῇ τοῦ Στρεψιάδου ἀμαθίᾳ. RENAMatr

book 627b μὰ τὴν Ἀναπνοήν M: ἐντεῦθέν φασι τὸν Ἀριστοφάνην χαριζόμενον τοῖς περὶ Ἄνυτον καὶ Μέλητον γεγραφέναι τὸ δρᾶμα διαβάλλοντα εἰς ἀθεότητα τὸν Σωκράτην. VENMMatr ὅτι δὲ πολὺ τοῖς χρόνοις λείπεται, εἴπομεν. VEN διαβάλλει γοῦν εἰς ἀθεότητα τὸν Σωκράτην διὰ τῆς πολυθεΐας REN καὶ τοὺς φιλοσόφους ἁπλοϊκοὺς διαβάλλει, ἐπεὶ καὶ ὁ Σωκράτης προεῖπε μὴ ἡγεῖσθαι θεοὺς VEN πλὴν τὸ Χάος καὶ τὴν VE

book 627b alpha Ἀναπνοὴν καὶ τὸν Ἀέρα. E

book 627b beta γλῶτταν καὶ τὸν Ἀέρα, ταυτὶ τρία. V

book 628 ἄγροικον] ἀπαίδευτον. RVEMRs

book 629alpha οὐδὲ σκαιὸν: σκαιοὺς τοὺς ἀμαθεῖς καὶ δυσπαρακολουθήτους ἔλεγον ἢ τοὺς μωρούς. ἀπὸ τῆς σκαιᾶς. E

book 629beta σκαιὸν: ἀντὶ τοῦ “μωρόν”. ἢ οὕτως· σκαιοὺς ἔλεγον τοὺς ἀμαθεῖς καὶ δυσπαρακολουθήτους. R

book 630a σκαλαθυρμάτι’ EMNp ἄττα M: σκιάς τινας καὶ σκαλεύματα. ἢ EMMatr Np λεπτὰ καὶ RVEMatr Np σμικρὰ παντάπασι νοήματα RVEM- Matr Np καὶ μαθήματα· σκαριφήματα. RVEMatr Np

book 630b alpha ἔγκειται τὸ ἄθυρμα· οἱονεὶ παίγνια καὶ οὐδὲν ἀξιόπιστον. EMatr Np

book 630b beta ἡ λέξις σύνθετος ἀπὸ τοῦ σκαλεύματα καὶ ἀθύρματα· οἷον παίγνια καὶ μηδενὸς ἄξια. V

book 633a ποῦ Στρεψιάδης;] ἀττικῶς ἀντὶ τοῦ N “ὦ Στρεψιάδη”. NM

book 633b ἔξει RM: ἔξελθε. RVENMbisARs

book 633c ἀσκάντην RVM: τὸν σκίμποδα. RVEMARs ἢ δίφρου τι εἶδος. RVE ἢ τὸν κράβατον. RVEM

book 635 ἀνύσας M: σπεύσας. RVEMbisRs

book 636 ὥσπερ ἡμεῖς ἐρωτῶμεν τοὺς παῖδας. V

book 638a πότερα περὶ μέτρων: καλῶς διέστησεν. οὐ γὰρ εἴ τι μέτρον ἐστίν, ἤδη καὶ ἔπος· εἴ τι δὲ ἔπος, ἤδη πάντως καὶ ῥυθμὸς καὶ μέτρον. σημειωτέον δέ, ὅτι καὶ ταῦτα τῶν κυκλικῶν μαθημάτων. E

book 638b περὶ ἐπῶν ἢ ῥυθμῶν E: ὅτι διαφέρει μέτρον καὶ ῥυθμός. RVEbisNp

book 638c ὅτι πατὴρ μέτρου ῥυθμός. RVEbisNp

book 638d ὅτι ἀρχαία ἡ τῶν μέτρων καὶ ῥυθμῶν διδασκαλία. RVENp

book 639a alpha ὡς ἄγροικος ὁ πρεσβύτης ἀπεκρίνατο ὡς ἐπὶ τῶν γεωργικῶν δεξάμενος. RE

book 639a beta ὡς ἄγροικος πάλιν ὁ πρεσβύτης ἀπεκρίνατο. ὁ μὲν γὰρ τὰ τῶν ποιημάτων ἔλεγε μέτρα, ὁ δὲ ὡς ἐπὶ τῶν γεωργικῶν ἐδέξατο. VE

book 639b λείπει τὸ “θέλω μαθεῖν”. V

book 639c ἔναγχος] πρὸ μικροῦ. EN

book 640a alpha ὑπ’ ἀλφιταμοιβοῦ E: τοῦ ENA ἀντικαταλλάσσοντος καὶ E πιπράσκοντος ἄλφιτα. ENA 〈ἢ τοῦ ἀμείβοντος ἀντὶ ἀργυρίου ἄλφιτα.〉 Ald οὕτω καὶ ἀργυραμοιβοὶ οἱ ἀντὶ ἀργυρίου κέρματα ἀμείβοντες. E

book 640a beta ὑπ’ ἀλφιταμοιβοῦ: ἀλφιταμοιβοὶ οἱ ἀμείβοντες ἀντὶ ἀργυρίου ἄλφιτα· οἷον οἱ ἀντικαταλλάσσοντες. M

book 640a gamma ἀλφιταμοιβοὶ οἱ τὰ ἄλφιτα ἀμείβοντες καὶ πιπράσκοντες. RV

book 640b λέγει· ὅτι ἐγὼ χθὲς V ὑπὸ μετρητοῦ VE ἐζημιώθην VENMRs δύο χοίνικας. V

book 640c

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρεκόπην διχοινίκῳ E: ἀντὶ τοῦ “ἐπλάνησέ με EM ὁ μετρητὴς M μετρῶν τῇ ποσότητι δύο χοίνικας”. EM

book 641a οὐ τοῦτ’ ἐρωτῶ: διαβάλλει Σωκράτην. οὐ γὰρ ποιητικὴν ἢ μουσικὴν ἐπηγγέλλετο διδάσκειν. ὁ δὲ τὰ προσόντα μὴ λέγων, χαριζόμενος δὲ τὰ μὴ προσόντα, ἀμφοτέρων ἐκεῖνος ἀπεστέρηται ὁ τοὺς λόγους ἀμφοτέρων ἀποφαίνων ἀλλότριον καὶ ἄπειρον. E

book 641b διαβολή, ὅτι τὰ μὴ οἰκεῖα τῇ τέχνῃ ἐπαγγέλλεται διδάσκειν. οὔτε γὰρ ποιητής ἐστιν οὔτε μουσικός. ENp

book 642 εἴδη μέτρων, οἷς καὶ Ἀρχίλοχος κέχρηται ἐν Τριμέτροις καὶ Τετραμέτροις. RV

book 643a alpha ἔπαιξε πάλιν εἰπών· οὐδὲν κάλλιον ἡγοῦμαι ἡμιεκτέου μέτρου· EM τουτέστι τεσσάρων χοινίκων. ὁ γὰρ μέδιμνος μη′ χοινίκων ἐστίν. τούτου οὖν τὸ ἕκτον ἐστὶν ὀκτὼ χοίνικες. τὸ δὲ ἡμιεκτέον, τουτέστι τὸ δωδέκατον τῶν μη′, χοίνικες τέσσαρες. E

book 643a beta ἡμιεκτέου E: τοῦ τετραχοινίκου. ENMbis ὁ γὰρ μέδιμνος χοίνικας ἔχει μη′. τούτων τὸ ἕκτον τὰ η′. τὸ ἥμισυ τοῦ ἕκτου, τουτέστι τῶν ὀκτώ, τὰ τέσσαρα· ὃ καλεῖται τετράμετρον. ὁ οὖν ἡμιεκτέος τέσσαρας ἔχει χοίνικας. EMRs

book 643b παρατηρητέον, ὅτι διὰ τοῦ ε δεῖ λέγειν ἡμιεκτέον, καὶ οὐ VE διὰ τοῦ α V κατὰ τὴν κοινὴν χρῆσιν ἡμιεκτέον. VE

book 644 περιδοῦ νῦν ἐμοὶ: ἀντὶ τοῦ EM “συνθήκας ποίησον”. RENMRs παρὰ τὸ ὁμηρικὸν δεῦρο νῦν ἢ τρίποδος περιδώμεθα. EM

book 645a εἰ μὴ τετράμετρον E: πρὸς τὸ “τετράμετρον” ἀπήντησεν. RVEMNp

book 645b τὸ ἡμιεκτέον μέτρων ἐστὶ τεσσάρων· ὁ γὰρ μέδιμνος χοίνικας ἔχει μη′, ὁ δὲ ἑκτεὺς η′, τὸ ἡμιεκτέον δὲ δ′ μέτρα ἔχει. RVENp

book 645c ἡμιεκτέον] εἰ μὴ τὸ τετράμετρόν ἐστιν ἡμιεκτέον. E

book 646 ἄγροικος] ἀπαίδευτος. E

book 647 ταχὺ δ’ ἂν δύναιο EM: ἐν εἰρωνείᾳ. EbisM λέγει δὲ εἰς τὸ κιθαρίζειν. ταχὺ E δυνηθείς, ENM φησίν, αἰσθάνεσθαι καὶ καταλαμβάνειν τὸ κιθαρίζειν. E

book 649a κομψὸν EM ἐν συνουσίᾳ: ἀντὶ τοῦ M “πιθανὸν καὶ εὔχαριν RVE- Mbis ἐν συνόδῳ καὶ τῇ πρὸς ἑτέρους κοινωνίᾳ”. RVEM

book 649b πιθανὸν καὶ ἀστεῖον φαίνεσθαι τοῖς συνοῦσιν. E

book 650 ἐπαΐειν: αἰσθάνεσθαι RVENM καὶ νοεῖν. RVE

book 651a κατ’ ἐνόπλιον RENMRsNp: εἶδος ῥυθμοῦ, πρὸς ὃν ὠρχοῦντο σείοντες τὰ ὅπλα. RVENMRsNp ἔστι δὲ ὁ ἐν ἡμιολίῳ. ἡ γὰρ μακρὰ πρὸς τὰς δύο βραχείας ἴσον τινὰ ἔχει. ENMRsNp

book 651b 〈...〉 ῥυθμὸν ENMNp ἐκ τριποδίας ἀναπαιστικόν, ὃς δέχεται πάντας τοὺς δισυλλάβους πόδας. ENRsNp οἱ δὲ ἐνόπλιον τὸν ἀμφίμακρον, RVENRsNp ὃς καὶ κουρητικὸς καλεῖται ἀπὸ τοῦ RVERsNp

book 651b alpha εἰς τοὺς Κούρητας ἀμέλει τούτῳ γὰρ τῷ μέτρῳ προσωρχοῦντο σείοντες τὰ ὅπλα. καλεῖται δὲ ἐνόπλιος κατὰ δάκτυλον, ᾧ χρῶνται 〈...〉 ERsNp

book 651b beta τὰ εἰς τοὺς Κουρῆτας μέλη τούτῳ τῷ μέτρῳ κεχρῆσθαι. RV

book 651c κατὰ δάκτυλον ENp: ἀριθμητικὸν ἢ γεωμετρικόν. ἔστι δὲ ῥυθμὸς κρούματος εἶδος κατὰ δάκτυλον, ᾧ χρῶνται οἱ VENp

book 651c alpha αὐληταί. ENp

book 651c beta αὐλοῦντες πρὸ τοῦ νόμου. V

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 651d ὁ κατὰ δάκτυλον ῥυθμός ἐστιν ὁ ἐν ἴσῳ λόγος. ὁ δὲ ἐνόπλιος, ⟨ὁ⟩ καὶ προσοδιακὸς λεγόμενος ὑπό τινων, σύγκειται ἐκ σπονδείου καὶ πυρριχίου καὶ τροχαίου καὶ ἰάμβου· συνεμπίπτει δὲ οὗτος ἤτοι τριποδίᾳ ἀναπαιστικῇ ἢ βάσεσι δυσίν, ἰωνικῇ καὶ χοριαμβικῇ. VENp

book 653a ἀντὶ τουτουὶ τοῦ δακτύλου: τὴν παραγραφὴν ἐατέον μεταξὺ τοῖν δυοῖν, ὡς ἐν τοῖς πλείστοις σχεδὸν φέρεται. ὁ πρότερος Σωκράτους, οὗτος τίς ἄλλος ἀντὶ τουτουὶ τοῦ δακτύλου; καὶ τάχα εἴη λέγων τῷ γέροντι· “ἕτερόν τινα εἶναι δάκτυλον νομίζεις ἢ τουτονί;” δεικνὺς αὐτῷ ἕνα τῶν δακτύλων αὐτοῦ. “ὅταν γὰρ περὶ ῥυθμῶν, οὐ περὶ τούτου τοῦ δακτύλου,” φησίν, “ἀλλὰ περὶ ἑτέρου”. ὡς γὰρ ἄγροικος. καὶ οὗτος ἐρεῖ οὐδὲν ἧττον δείξειν τὸν μέσον δάκτυλον ἀσελγαινόμενος. ἐὰν δὲ περιαίρηται, ἀμφότεροι ἔσονται τοῦ γέροντος ἀσυνδέτως εἰρημένοι. E

book 653b τίς ἄλλος ἀντὶ τουτουὶ R: δεικνύει τὸν μέσον δάκτυλον αἰσχρῶς φήσει οὐδεὶς ὡς οὐκ ἔστιν ἀντὶ τούτου τοῦ δακτύλου· καὶ γὰρ παιδίῳ μοι ὄντι πάλαι ὁ αὐτὸς ἦν, καὶ νῦν δὲ γεγηρακότι. RVENp

book 655 ἀγρεῖος] ἄγροικος REN καὶ ἀμαθής. RE

book 657 ἀδικώτατον] ὃν εἶπεν ἥττονα. RE

book 658a ἀλλ’ ἕτερα δεῖ σε: λοιπὸν τὰς ἀξιοπιστίας τῶν φιλοσόφων μιμεῖται. E

book 658b τούτου] τοῦ ἀδίκου λόγου. E

book 659 ὀρθῶς] καταχρηστικῶς ἢ φυσικῶς. EM

book 661a κύων, ἀλεκτρυών E: ἔπαιξε τὸν ἀλεκτρυόνα ὡς τετράπουν καταριθμήσας, VENp ἵν’ ἡ ἀφορμὴ τοῦ λοιποῦ παιγνίου ἐκ τούτου γενήσεται. V

book 661b καὶ ταῦτα γελοίου χάριν παρείληπται. ἢ καὶ πρὸς τὴν ἀθεότητα Σωκράτους, ὅτι κατ’ αὐτῶν ὄμνυσιν. RVENp

book 663a ἀλεκτρυόνα κατὰ ταὐτὸν: οὐκ ἂν ἄλλως λέγοιτο τοῦτο, εἰ μὴ ἐν ἔθει ἦν αὐτοῖς τότε καὶ τὴν θήλειαν ἀλεκτρυόνα λέγειν. σαφὲς δὲ γίνεται ἐν Ἀμφιαράῳ γύναι, τί τὸ ψοφῆσάν ἐστιν; ἡ ἀλεκτρυὼν τὴν κύλικα καταβέβληκεν. οἰμώζουσά γε. καὶ ἐν τῷ Πλάτωνος Δαιδάλῳ ἐνίοτε πολλαὶ τῶν ἀλεκτρυόνων καὶ ὑπήνεμα τίκτουσιν ᾠὰ πολλάκις. ὁ δὲ παῖς ἔνδον τὰς ἀλεκτρυόνας σοβεῖ. E

book 663b οἱ Ἀττικοὶ οὕτω καὶ τὰς θηλείας ἐκάλουν, ὡς καὶ Θεόπομπος. λέγουσι δὲ αὐτὴν καὶ ἀλεκτρύαιναν. VE

book 663c τῷ αὐτῷ ὀνόματι. RVE

book 664a πῶς] λείπει λέγεις. VEM

book 664b ἀλεκτρυὼν κἀλεκτρυών] ὁ ἀλεκτρυὼν καὶ ἡ ἀλεκτρυών. E

book 666 τὴν μὲν ἀλεκτρύαιναν, τὸν δὲ ἀλέκτορα. VE

book 667 νὴ τὸν Ἀέρα E: μιμεῖται καὶ αὐτὸς τοὺς φιλοσόφους κατὰ τοῦ ἀέρος ὀμνύς. RVENp

book 668 τοῦ διδάγματος] τῆς διδαχῆς. E

book 669a διαλφιτώσω M: πᾶσαν ἀλφίτων πληρώσω RVEM τὴν κάρδοπον. V

book 669b κάρδοπον RV: τὴν NM μαγίδα, RVM ἐν ᾗ τοὺς ἄρτους ἔματτον· ἢ RV σκάφην, RVNM ἐν ᾗ ἀναμάττειν καὶ ἀναφύρειν ἔθος τὰ ἄλφιτα. RV

book 669c τὴν κάρδοπον] τὸ σκάφος, ἐν ᾧ μάττουσιν. EM

book 670 ἀντὶ τοῦ “ἰδού, ἕτερον αὖθις διήμαρτες RVE τὴν καρδόπην εἰπὼν κάρδοπον· κοινῶς γὰρ κέκλιται”. V

book 673a

ὥσπερ καὶ Κλεώνυμον R: τῶν πολιτευομένων εἷς ἦν RVEM ὁ Κλεώνυμος. RV καὶ ὡς γυναικιζόμενον αὐτὸν οἱ RVEM τῆς ἀρχαίας κωμῳδίας RV ποιηταὶ διαβάλλουσιν. RVEM

book 673b μάλιστά γε, E ὥσπερ γε καὶ Κλεώνυμον EM: σύ, φησίν, τὴν κάρδοπον καλεῖς ἀρσενικῶς δέον θηλυκῶς· ὥσπερ Κλεώνυμον ἄρρενα καλοῦσί τινες RVEMNp οὐ διαφέροντα τῇ αἰσχύνῃ τῶν γυναικῶν. REMNp

book 674a ταὐτὸν δύναταί σοι κάρδοπος ENp: οἷον τὸ αὐτὸ γένος. σημαίνει δὲ τὴν κατάληξιν. VE

book 674b alpha ταὐτὸν δύναταί σοι κάρδοπος M: δοκεῖ σοι ὁμοιοκατάληκτον εἶναι; ἅμα δὲ καὶ ὡς γυναικώδη σκώπτει τὸν Κλεώνυμον. EM

book 674b beta ὅτι ὁμοιοκατάληκτά εἰσιν. ἅμα δὲ καὶ γυναικώδης ὁ Κλεώνυμος. RV

book 674c ἀδηφαγίας ἔχει διαβολὴ τοῦ κατὰ Κλεωνύμου· τρόπον γὰρ μάκτρας ἔστω ὁ Κλεώνυμος. VEM

book 674d ὡς ἀδηφάγον καὶ ἀλφίτων δεκτικὸν διασύρει λέγων ὅμοιον. EM

book 674e ἀδηφαγίας ὑπερβολή. EMNp

book 676alpha ἀλλ’ ἐν θυείᾳ στρογγύλῃ: ὡς πένητα καὶ παράσιτον διασύρει αὐτὸν καὶ ἀποροῦντα μάκτρας. μικρὰ δέ ἐστιν ἡ θυεία, ἡ δὲ καρδόπη μεγάλη. EMNp

book 676beta ἐπειδὴ πένης ἦν RV ὁ Κλεώνυμος R καὶ παράσιτος, V διασύρει αὐτὸν ὡς ἀποροῦντα μάκτρας καὶ θυείᾳ χρώμενον. RV μικρὰ γὰρ ἡ θυεία, ἡ δὲ κάρδοπος μεγάλη. V

book 680a ἐκεῖνο δ’ ἦν ἂν EM καρδόπη NM Κλεωνύμη N: τοῦτον ἤδη ὡς κίναιδον διασύρει, ἐπεὶ ῥίψασπις καὶ δειλός. ENMANp

book 680b ἐν ἐρωτήσει ὁ λόγος, καὶ λείπει τὸ ὡς, ἵν’ ᾖ· ἐκεῖνο δ’ ἦν ὀρθῶς, ὡς “καρδόπη” καὶ “Κλεωνύμη” λέγειν; ENMNp

book 680c ὅμοιον ἦν τὸ λέγειν “καρδόπην ὡς Κλεωνύμην”. EMNp

book 684 αὗται πόρναι ἦσαν. V

book 686 Φιλόξενος M: οὗτοι ἐπὶ μαλακίᾳ ἐκωμῳδοῦντο· RVEMNp καὶ τοῦ μὲν κατηγορεῖ τύχης, τοῦ δὲ φύσεως. VEMNp

book 687 ὦ πόνηρε] ὦ V ἄθλιε. VE

book 689 ἐντυχὼν] ἀντὶ τοῦ “συντυχών”. ENp

book 691 γυναῖκα τὴν Ἀμυνίαν EM: πρὸς τὴν κατάληξιν τοῦ ὀνόματος ἔπαιξεν, καὶ εἰς διαβολὴν τοῦ ἀνδρὸς ἐνταῦθα μὲν εἰς δειλίαν μόνον· Κρατῖνος δὲ ἐν Σεριφίοις ὡς ἀλαζόνα καὶ κόλακα καὶ συκοφάντην· VEM Εὔπολις δὲ ὡς παραπρεσβευτήν, VE ὅπερ καὶ ἐν τοῖς Σφηξὶ φαίνεται. VEM

book 693 ἃ πάντες ἴσμεν] τὰ κοινὰ δηλονότι. E

book 694 ἀλλὰ κατακλινεὶς δευρὶ ENM: τὸ “κατακλινεὶς” κοινόν, τὸ δὲ κατακλιθείς ἀττικόν. ENMNp

book 695a ἐκφρόντισόν ENp τι E τῶν σεαυτοῦ πραγμάτων M: ἀντὶ τοῦ “σκέψαι καὶ διανοήθητι περὶ τῶν ἰδίᾳ σοι συμφερόντων πραγμάτων”. EMNp

book 695b σκέψαι τι τῶν σοι συμφερόντων καὶ ἐννοήθητι. RV

book 696a μὴ δῆθ’ ENp ἱκετεύω E: παρεπιγραφή· ποιήσει γὰρ τὸ προσταχθέν. εἶτα καταβρωθεὶς ἀρνηθήσεται καὶ ἀναστήσεται. ENp

book 696b μὴ δῆθ’ ἱκετεύω M: ἐπὶ τοῦ ἀσκάντου. REMbis

book 698 οὐκ ἔστι παρὰ ταῦτ’ EM ἄλλα M: τοῦτο, φησί, πάντως δέδοκται καὶ οὐκ ἀνίημί σε ἕτερόν τι ποιῆσαι. VEM

book 699a ἀντὶ τοῦ “σήμερον”. V

book 699b alpha

δώσω τήμερον: τινὲς “τήμερα”. ὡς ἐν Ὁλκάσιν ἰὼ κακοδαῖμον, τί ἄρα πείσει τήμερον; ἀντὶ τοῦ “ὁ σημερινός”, καὶ ἔστι τὸ τεταγμένως ἐπὶ σώματος· τὸ δὲ τήμερον ἐπὶ χρόνου λέγεται. E

book 699b beta τήμερος: ὁ σημερινός. καὶ ἔστι τεταγμένον ἐπὶ σώματος, τὸ δὲ τήμερον ἐπὶ χρόνου λέγεται. καὶ ἐν τῇ Εἰρήνῃ ἰὼ Λακεδαῖμον, τί ἄρα πείσῃ [para]τήμερα; ἀντὶ τοῦ “σημερινή”. RV

book 700a φρόντιζε δὴ RMNp καὶ διάθρει REM: ἐκάθισεν αὐτὸν ἐπὶ τοῦ ἀσκάντου. RVEMNp

book 700b τὸ “δὴ” ἰσοδυναμεῖ τῷ νῦν. RVENp

book 700c τὸ μέτρον χοριαμβικὰ τοῖς ἀμβικοῖς ἐπιμεμιγμένα. διπλῆ δὲ καὶ περίοδος ἑπτάκωλος ἀντὶ δεκακώλου, ὧν τελευταῖον ἀπέστω γλυκύθυμος ὀμμάτων· ὑφ’ ὃ διπλαῖ δύο κατὰ τὴν ἀρχήν. ἕπεται δὲ ἀμοιβαῖον δίκωλον· καὶ τὸ μὲν τοῦ πρεσβύτου ἐν παρεκθέσει τετρασύλλαβον κατὰ πόδα χορίαμβος, τὸ δὲ τοῦ χοροῦ ἐν ἐπεισθέσει παιωνικὸν βακχειακὸν δίρρυθμον. εἶτα ἐν ἐκθέσει ἰαμβεῖα δύο, ὧν τελευταῖον δάκνουσί μ’ ἐξέρποντες ENp οἱ Κορίνθιοι. E

book 700d τὸ πρῶτον δίμετρον ἀκατάληκτον καὶ τὸ δεύτερον 〈καταληκτικόν〉. E

book 700e διάθρει] βλέπε. RVEN

book 700f διάθρει] ἀνάκρινε καὶ δοκίμαζε. RVbisEbisMNp

book 700g διάθρει] διερεύνα. E

book 701 πάντα τρόπον σεαυτόν E: τουτέστιν RVE ἐπὶ πολλὰ RVEbisMNp τὴν διάνοιάν σου τρέπε. RVE

book 702a στρόβει REMNp: περίφερε τῇδε κἀκεῖσε. RVEMNp

book 702b πυκνόν τε καὶ συνετὸν ποιήσας RVEMNp καὶ φρόνιμον· 〈συ〉στρεψάμενος. RVEM

book 703a alpha ταχὺς δ’ ὅταν εἰς ἄπορον: ἐπὰν δέ, φησίν, εἴς τι ἄπορον πέσῃς, ταχὺ ἐπ’ ἄλλο νόημα φρενὸς πήδα. E

book 703a beta ἐὰν ἀπορήσῃς εἴς τι, ταχέως εἰς ἄλλο πήδα νόημα. V

book 703a gamma φησίν· ὅτι ἐὰν ἡ διάνοια εἰς ζήτημα ἄπορον ἐμπέσῃ, μετάβηθι ἐπὶ ἄλλο. RV

book 703b ἄπορον RE: οὗ πόρον RVE καὶ λύσιν E οὐκ ἔστιν εὑρεῖν. RVE

book 703c alpha καθάπτεται Σωκράτους ὡς αὐτοῦ ἐπὶ ταῖς συζητήσεσι τοῦτο ποιοῦντος· E

book 703c beta διαβάλλει τὸν Σωκράτην ὡς καὶ αὐτὸν ἐν ταῖς συζητήσεσι 〈...〉· V

book 703c a-b ὅταν γὰρ στενοχωρῆται καὶ ἀπορῇ, μεθίσταται εἰς ἕτερον. ὁ γὰρ ὑποτιθέμενος ἄλλῳ δηλονότι αὐτὸς ἐν πείρᾳ γενόμενος τῶν ὅσα λέγει ὑποτίθεται. VE

book 703c gamma σκώπτειν διὰ τούτων βούλεται τὸν Σωκράτην ὡς χλευαζόμενον ἐν ταῖς συζητήσεσι καὶ μεθιστάμενον ὑπὸ στενοχωρίας. RV

book 705 〈ἀπέστω: οἰχέσθω, διωκέσθω.〉 Su. I 275, 26

book 706 –στω γλυκύθυμος ὀμμάτων] ἀπὸ χοριάμβου εἰς ἰάμβου βάσιν. E

book 707a τετρασύλλαβος χορίαμβος. E

book 707b ἰατταταί EM ἰατταταί M: καταπονούμενος ὑπὸ τῶν κόρεων στενάζει ὁ Στρεψιάδης. REMRs ἔστι δὲ παρεπιγραφή· κατακλιθεὶς γὰρ καὶ μὴ δυνάμενος ὑπενεγκεῖν παρεκάλει. ERs

book 708 παιωνικὸν βακχειακὸν δίρρυθμον. R

book 710a alpha δάκνουσι μ’ M ἐξέρποντες EM οἱ Κορίνθιοι E: ἴσως αὐτοῖς ἐπέκειντο κατ’ ἐκεῖνο καιροῦ οἱ Κορίνθιοι. παρονομάζει δὲ παίζων ἅμα μὲν πρὸς τὸ “κόρεων”, EMA- Rs ἅμα δὲ καὶ διὰ τὸν πόλεμον, ὅτι ἐχθροὶ ἦσαν Ἀθηναίων Κορίνθιοι. EMRs

book 710a beta ἴσως μὲν RV ὅτι V κατ’ ἐκεῖνον τὸν καιρὸν ἐπέκειντο αὐτοῖς οἱ Κορίνθιοι, ἅμα δὲ ὅτι παρὰ τὸ κόρις πεποίηται οἱ Κορίνθιοι. παίζων οὖν παρονομάζει ἅμα μὲν πρὸς τὸ τῶν κόρεων ὄνομα, ἅμα δὲ διὰ τὸν πόλεμον, καὶ ὅτι ἐχθροὶ ἦσαν Ἀθηναίων RV οἱ V Κορίνθιοι. RV

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 710b 710] ἐπειδὴ κόρεις οἱ Κορίνθιοι. E

book 711a καὶ τὰς πλευρὰς δαρδάπτουσιν M: ἀναπαιστικὸν δίμετρον. EM

book 711b ἑκάστῳ τὸ οἰκεῖον. E

book 712/713/714 ὅμοιον. E

book 715 ἀναπαιστικὸν μονόμετρον. EMRs

book 716 ἀναπαιστικὸν δίμετρον 〈ἐν〉 ἐπεισθέσει τοῦ χοροῦ. E

book 717a καὶ πῶς ὅτε μου: καὶ E πῶς δύναμαι μὴ ἀλγεῖν; RE

book 717b (717—722) τὰ ἓξ ταῦτα τῶν ὑποκριτῶν. τούτων τὸ α′, β′, γ′, δ′, ε′ ἀναπαιστικὰ μονόμετρα 〈καὶ δίμετρα ἀκατάληκτα〉, τὸ δὲ ϛ′ ἀναπαιστικὸν δίμετρον καταληκτικόν. E

book 718 φρούδη χροιά] ὡς καὶ αὐτὸς ὠχρὸς γενόμενος. EMNp

book 719 φρούδη δ' EM ἐμβάς EMNp: μέχρι τοῦ εὐτελοῦς κτήματος. τοῦτο δὲ εἶπε διὰ τὸ ὑπολελύσθαι τὰς ἐμβάδας, ὅτε ἀπεδύετο μέλλων εἰσιέναι εἰς τὸ φροντιστήριον. RVEMNp

book 721a φρουρὰς ᾄδων EM: οἱ φρουροῦντες ἐν τῷ παραμυθεῖσθαι αὐτῶν τὴν ἀγρυπνίαν ᾖδον. καὶ οὕτως ἦν λεγόμενον ἐπὶ τῶν ἀγρυπνούντων, "φρουρὰς ᾄδων". RVEMNp

book 721b ἐκ τοῦ παρεπομένου τοῖς φρουροῖς. εἰώθασι γὰρ ἑαυτοῖς ᾄδειν ἀποπερισπῶντες τὸν ὕπνον. E

book 721c φρουρὰς ᾄδων V: ἀντὶ τοῦ "ἀγρυπνῶν". RVENRsNp

book 721d φρουρὰς ᾄδων: οἷον E διαγρυπνῶν τὴν φρουράν. VE

book 721e παρὰ τὴν λέξιν τὴν "φρούδη" τοῦτο πεποίηκεν. E

book 721f alpha δισσὴ ἡ γραφή· "φρουρὸς ᾄδων" ἀντὶ τοῦ "συνεχῶς ᾄδων φρουρός"· τὸ δὲ "φρουρὰς ᾄδων" ἀντὶ τοῦ "φυλάττων", ἐπειδὴ φύλακες ἦσαν τῶν φροντιστηρίου θυρῶν. E

book 721f beta δισσή ἐστιν ἡ γραφή, "φρουρὰς ᾄδων" καὶ "φρουρὰς ἰδών". τὸ δὲ "φρουρὰς ᾄδων" ἀντὶ τοῦ "συνεχῶς ᾄδων φρουράς" καὶ τὸ "φρουρὰς ἰδών" ἀντὶ τοῦ "φυλάττων", ἐπειδὴ φύλακες ἦσαν τῶν τοῦ φροντιστηρίου θυρῶν. V

book 722 ἀναπαιστικὸν δίμετρον καταληκτικόν. E

book 723 διπλῆ καὶ ἔκθεσις εἰς ἴαμβον τρίμετρον. Rs

book 725a εἴ] μεριμνῶ δηλονότι. E

book 725b τι] λείπει μέρος. EM

book 726 ἀπόλωλ' ἀρτίως RE: ὑπὸ τῶν κόρεων RVEM δηλονότι. ἐπειδὴ Σωκράτης εἶπεν "ἀπολεῖ", ὅ ἐστι μέλλεις ἀπολέσθαι, αὐτὸς λέγει ὅτι· ἀπόλωλα ἤδη. RVE

book 727a οὐ μαλθακιστέον. RV

book 727b μαλθακιστέ' M: πρὸς τὰ δήγματα τῶν κόρεων. RVEbisM

book 727c δεῖ σε, φησί, κατακαλύψασθαι καὶ σκεπάσασθαι, ἐπεὶ οἱ εἴς τι τείνοντες τὸν ὀφθαλμὸν ἀποπλανῶνται τὴν γνώμην. RVEM

book 728 ἀποστερητικός] δυνάμενος ἀποστερεῖν. E

book 729a κἀπαιόλημα R: κίνημα, ἀποπλάνημα καὶ ἀπάτην τινά, πανούργημα. RV

book 729b κἀπαιόλημα M: ἀποπλάνησις, ENM πανουργία, ἀπάτησις. ENMbis

book 729c ἀντὶ τοῦ "καλύψειε". R

book 730a ἐξ ἀρνακίδων REM: ἀρνακὶς λέγεται τὸ τοῦ ἀρνοῦ κῴδιον. ἔπαιξε δὲ πρὸς τὸ ἀρνεῖσθαι. RVEM

book 730b ἔπαιξε παρονομάσας ἀπὸ τῶν ἀρνῶν τὸ ἀρνεῖσθαι τοὺς δανειστάς. τὸ "ἐξ ἀρνακίδων". RVEM

book 730c δέον εἰπεῖν· τίς ἄν μοι περιβάλοι ἐξ ἀρνακίδων σισύραν; RVEM

book 730d ἀποστερητρίδα: ἅμα μὲν VEM καὶ ἀπὸ τοῦ ἀποστερεῖν, RVENM ἅμα δὲ καὶ ἀντὶ τοῦ "περιβόλαιον". VEM

book 731a ἔρχεται πάλιν ἐπ' αὐτὸν ὁ Σωκράτης. RE

book 731b τὸ ἑξῆς "ἀθρήσω τουτονί". E

book 733a alpha ἔχεις τι: ἐπειδὴ προεῖπεν αὐτῷ "ἀναρτήσας τὴν φροντίδα", ὡς ἐπὶ ὀρνιθοθήρα εἶπε τὸ "ἔχεις". E

book 733a beta ὡς ἐπὶ τῶν ἀγρευόντων ἤτοι ὄρνιν ἢ ἰχθῦν εἶπε τὸ "ἔχεις τι;" VE ἀντὶ τοῦ "συνείληφάς τι;". V ἀναρτῆσαι γὰρ αὐτῷ ἐκέλευσε τὴν διάνοιαν καὶ τὴν φροντίδα. VE

book 733a gamma χαριέντως τὸ "ἔχεις". ἐπεὶ ὥσπερ ἀναπτῆναι συνεβούλευσεν αὐτῷ ἐάσαντι τὴν φροντίδα, ἐπήγαγε τὸ "ἔχεις τι;" τῇ τῶν ἀγρευόντων λέξει χρώμενος. τοῖς γὰρ ἁλιεῦσιν ἢ τοῖς ὀρνεαγρευταῖς οὕτω φασίν· ἔχεις τι; E

book 733b οὐδὲν πάνυ, :] ἐρωτηματικῶς· ἀντὶ τοῦ "οὐδόλως". E

book 734 πλὴν ἢ τὸ E πέος EM: παρεπιγραφή· δεῖ γὰρ αὐτὸν καθέζεσθαι ἔχοντα τὸ αἰδοῖον RVEM καὶ μιμεῖσθαι τὸν δερμύλλοντα ἑαυτόν. VEM

book 737 αὐτὸς ὅ τι βούλει: διαβάλλει αὐτὸν ὡς μὴ παρέχοντα 〈τά〉 οἱ εὑρημένα τοῖς μαθηταῖς. EM

book 740 καὶ R σχάσας τὴν φροντίδα RE: ἀντὶ τοῦ "καταπαύσας, στήσας, ἀτρεμήσας". RVEMbis καὶ Πίνδαρος κώπην σχάσας RVEM ἀντὶ τοῦ RVE "τὴν RV εἰρεσίαν RVE καταπαύσας". RV ἔνιοι δέ· "σχάσας" ἀντὶ τοῦ "ἁπλώσας". RVEM

book 741a λεπτὴν REM: ἀκριβῆ. RVEMbis ἔνθεν καὶ λεπτολόγος RVEM ὁ ἀκριβολόγος. V

book 741b περιφρόνει: ἐρεύνα. RVEbisM

book 742a ὀρθῶς διαιρῶν EM: ἀκριβῶς καὶ ἐπιμελῶς καταμερίζων RVEMbis περὶ οὗ ἂν τὴν σκέψιν ποιῇ. RVEM

book 742b διαιρῶν R: ἀναπτύσσων, δοκιμάζων καὶ διακρίνων τὰ ποιήματα· RVEM οἷον διαίρεσιν αὐτῶν ποιῶν. RVE

book 742c ὡς ἐπὶ νομίμων ἐχρήσατο, ὡσεὶ ἔλεγε "κατὰ κεφάλαιον ἐκζητῶν". E

book 743a ἔχ' ἀτρέμα E: ἐφ' ἡσυχίας μένε· ὡς αὐτοῦ κινουμένου διὰ τὰς κόρεις. RVE

book 743b ἀντὶ τοῦ "κἂν ἀπορῇς V εἰς νόημά τι VE ἢ περί τινος τῶν νοημάτων". E

book 744 κᾆτα τὴν γνώμην E: ὑποτίθεται, πῶς δεῖ φροντίζειν καὶ τίνα τρόπον. φησὶ γάρ· ἐὰν ὑπεισέλθῃ σέ τι, μὴ ἀμελήσῃς, ἀλλὰ πολλάκις αὐτὸ μέτελθε· καὶ οὕτως εἰς ἓν συμφορήσας τὴν ἀρίστην γνώμην ἑλοῦ. VE

book 745a κίνησον αὖθις E: ἔασον τὸ ἀπορούμενον· ἔπειτα πάλιν ἀνασκοπεῖν καὶ οἷον ἀνοίγειν ἀποπείρω. τὸ γὰρ ἀναζυγοῦν ἐστι τὸ ἔξωθεν ἀνοίγειν τὴν θύραν. ἔνιοι δέ· ζυγώθρισον: συνάρμοσον, σύμπλεξον. RVE

book 745b κίνησον αὖθις R: ἀντὶ τοῦ "δεύτερον καὶ τρίτον ἐπίστησον περὶ τῶν αὐτῶν". RVEM

book 745c ζυγώθρισον RVE: ζυγοστάτησον, ENMbisA κίνησον, E ἴσωσον. RVEN

book 745d ζύγωθρον καλεῖται ὁ κόραξ, καὶ ἐπιζυγῶσαι τὸ κλεῖσαι, καὶ ἀναζυγῶσαι τὸ ἀνοῖξαι. E

book 745e ζυγώθρισον M: συνάθροισον. EM

book 746 ὡς ἐνθυμηθεὶς ἀνίσταται καὶ βοᾷ. RVENp

book 748a ἐπίδειξον] εἰπέ· ὅθεν καὶ ἐπίδειξις. E

book 748b δὴ] * E

book 749a alpha

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διαβάλλονται οἱ Θετταλοὶ ὡς γόητες. καὶ μέχρι νῦν δὲ φαρμακίδες παρ’ ἡμῖν αἱ Θετταλαὶ καλοῦνται. φασὶ δέ, ὅτι Μήδεια φεύγουσα κίστην ἐξέβαλε φαρμάκων ἐκεῖ καὶ ἀνέφυσαν. RVE

book 749a beta γυναῖκα φαρμακίδ’ EM εἰ πριάμενος E: ἕως νῦν τὰς φαρμακίδας Θετταλὰς καλοῦσιν. EM

book 749b Θετταλὴν E: Ἀττικοὶ βαρύνουσιν οἱ κατὰ Μένανδρον, ὡς δαμάλην. VE

book 751 ἐς EN λοφεῖον RENMNp στρογγύλον EN: τὴν τοῦ κατόπτρου θήκην. ἢ τὴν θήκην τοῦ λόφου RVENMA τῆς περικεφαλαίας. περιφερὴς δὲ αὕτη. RVENNp

book 752 ὥσπερ κάτοπτρον RE: ὁ γὰρ τῆς σελήνης κύκλος στρογγυλοειδής, καθάπερ καὶ τὰ ἔσοπτρα. καί φασι τοὺς περὶ τὰ τοιαῦτα δεινοὺς οὕτω κατάγειν τὴν θεόν. ἔστι δὲ καὶ Πυθαγόρου παίγνιον διὰ κατόπτρου τοιοῦτον. πληροσελήνου τῆς σελήνης οὔσης εἴ τις 〈εἰσ〉 ἔσοπτρον ἐπιγράψειεν αἵματι ὅσα βούλεται, καὶ προειπὼν ἑτέρῳ σταίη κατόπιν αὐτοῦ δεικνὺς πρὸς τὴν σελήνην τὰ γράμματα, κἀκεῖνος ἀτενίσας πλησίον εἰς τὸν τῆς σελήνης κύκλον ἀναγνοίη πάντα τὰ ἐν τῷ κατόπτρῳ γεγραμμένα ὡς τῇ σελήνῃ 〈ἐγ〉 γεγραμμένα. RVE

book 754 εἰ μηκέτ’ ἀντέλλοι σελήνη E: πρὸς τὸ εἰρημένον ὑπ’ αὐτοῦ ὁρῶν ἄγουσαν τὴν σελήνην εἰκάδας. RVE

book 755 τίη τί δή EM: παράλληλα. καὶ παρ’ Ὁμήρῳ τίη τί δὴ λείπεσθε φέριστοι; VEM

book 756a ἀργύριον δανείζεται: οὕτως ἡ γραφὴ “ἀργυρίων” πληθυντικῶς παρὰ Φρυνίχῳ κεῖται. ὅτι οἱ κωμικοὶ πληθυντικῶς φασιν, οἱ δὲ ῥήτορες ἑνικῶς. καὶ Σώφρων πληθυντικῶς ἀργυρίων δεήσῃ. E

book 756b τἀργύριον] γρ. ἀργυρίων. E

book 758 εἴ σοι γράφοιτο πεντετάλαντός EM τις δίκη M: εἰ κατηγοροίη πέντε σε δυναμένη ζημιῶσαι τάλαντα, ἀττικῶς δὲ τοῦ ἀριθμοῦ τὸ ε ἐφύλαξεν. RVEM

book 759 ὅπως M: ἀντὶ τοῦ “ποίῳ τρόπῳ”. REMbis

book 760 ὅπως ὅπως M: τοῦτο E ὡς σκεπτόμενος. RVEM

book 761 ἴλλε RM: ἀπόκλειε, RVENMA ἔφελκε. RVEM ὅθεν “ἰλλάσιν”. RVM

book 762 ἀποχάλα] ἐνδίδου EMRs καὶ ἐπάφιε. E

book 763a alpha 〈ζωΰφιον, ᾧ χρῶνται εἰς παιδιὰν οἱ παῖδες. ὃ τοῖς ἄνθεσιν ἐπικαθέζεται, οἱ δὲ παῖδες λίνον τοῦ ποδὸς ἐξαρτῶντες καὶ ξυλίφιον, ὃ οὐκ ἐξισχύουσιν ἀνακουφίσαι, εἰς τὸν ἀέρα ἀφιᾶσιν ἔχοντες ἐξουσίαν πάλιν αὐτὰς κυνηγετῆσαι.〉 Su. III 386, 1

book 763a beta μηλολόνθην τοῦ ποδός R: εἶδος ζωϋφίου τινὸς παρὰ τὸν κάνθαρον, ὃ τοῖς ἄνθεσιν ἐπικαθέζεται. ταύταις οὖν εἰς παιδιὰν ἐχρῶντο Ἀθήνησι παῖδες λίνον τοῦ ποδὸς ἐξαρτῶντες καὶ ξυλήφιον, ὅπερ οὐκ ἐξισχύουσιν ἀνακουφίσαι εἰς τὸν ἀέρα, ἔχοντες ἐξουσίαν πάλιν αὐτὰς κυνηγετῆσαι. RV

book 763b μηλολόνθην: τινὲς λέγουσιν, ὅτι ζωΰφιόν ἐστι χρυσίζον κανθάρῳ ὅμοιον, ὃ λαμβάνοντες οἱ παῖδες ἀποδεσμοῦσι λίνῳ καὶ ἐκπεταννύουσιν. οὕτως οὖν, φησί, δῆσόν σου τὴν γνώμην, ἵν’, ὅταν ἁρπάσῃς ἐκ τοῦ ἀέρος τὴν γνώμην, πάλιν ἐπισπάσῃ αὐτήν. E

book 763c τὸν χρυσοκάνθαρον. RVEbisARs

book 764 ἀφάνισιν] ἀποφυγήν. RE

book 765 ὥστ’ αὐτὸν ὁμολογεῖν M: τὰ γὰρ καλὰ ἐπαινεῖ ὁ διδάσκαλος. VEM

book 766 τὴν λίθον] τὸν κρύσταλλον. RVENM

book 768a ὡς διὰ τοῦ κρυστάλλου δυναμένην ἐναύειν. VE

book 768b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὴν ὕαλον λέγεις EN: κατασκεύασμά ἐστιν ὑάλου τροχοειδὲς RVEN παχὺ EN τοῦτο τεχνασθέν· ὅπερ ἐλαίῳ χρίοντες καὶ RVEN ἡλίῳ RV θερμαίνοντες προσάγουσι θρυαλλίδα καὶ RVEN οὕτως EN ἅπτουσιν. τοῦτο οὖν φησιν· εἰ ὑφάψαιμι διὰ τῆς ὑάλου καὶ προσαγάγοιμι τῇ δέλτῳ τὸ πῦρ τῇ τοῦ γραμματέως, ἀφανίσαιμι τὰ γράμματα τῆς δίκης. RVEN

book 768c ὅτι ὕαλος θηλυκῶς καὶ διὰ τοῦ α· διὸ τὸ χ. E

book 768d Ὅμηρος οὐκ οἶδε τὸ ὄνομα, ἀλλὰ E παρ' αὐτῷ καὶ τοῖς ἀρχαίοις ἤλεκτρος μέν ἐστιν, ὕαλος δὲ οὔ. VE

book 769 φέρε τί δῆτ' ἄν M: πῶς δὴ αὐτῇ χρήσαιο, ἄγε εἰπέ. EM

book 770 ὁ γραμματεύς E: ὁ γράφων τὰ λεγόμενα RVE ἐν ταῖς δίκαις RV ὁ νῦν καλούμενος ἐξκέπτωρ. RVE

book 772 ἐκτήξαιμι] ἀντὶ τοῦ E "ἐκλύσαιμι". VE

book 773a νὴ τὰς Χάριτας] πάλιν ἑτέρῳ ὅρκῳ κέχρηται ὁ Σωκράτης. VE

book 773b νὴ τὰς Χάριτας: οὐχ ἁπλῶς ὄμνυσι κατὰ τῶν Χαρίτων. ὀπίσω γὰρ τῆς Ἀθηνᾶς ἦσαν γλυφεῖσαι αἱ Χάριτες ἐν τῷ τοίχῳ, ἃς ἐλέγετο ὁ Σωκράτης γλύψαι. τὸ γὰρ πρῶτον λιθογλύφος ἦν τὴν τέχνην. αἰνίττεται οὖν αὐτοῦ τοῦ Σωκράτους εἰς τὴν πρώτην τέχνην. E

book 773c alpha οἴμ' ὡς ἥδομαι] ὁ ἄγροικος ὡς ἤδη νενικηκὼς ἥδεται. E

book 773c beta ὁ ἄγροικος ὡς ἤδη νενικηκὼς διὰ τὸ τῆς εὑρέσεως τοῦτο λέγει. ἔστι γὰρ καὶ ἐν τῇ συνηθείᾳ πολλάκις λεγόμενον τὸ οἴμοι χαίροντός τινος. V

book 773d ᾆσμα εὐφροσύνης καὶ ***E

book 774a 〈πεντετάλαντος δίκη διαγέγραπται: τὸ ε ἄτρεπτον τηρεῖται παρὰ τοῖς Ἀττικοῖς.〉 Su. IV 85, 1

book 774b διαγέγραπταί EMNp: κατέξυσται, VEbisMNp ἀνῄρηται VEbis- MbisNp ἀπὸ τῆς τοῦ γραμματέως δέλτου, ὅπου αἱ δίκαι ἀνεγράφοντο καὶ αἱ εἰσαγωγαὶ τῶν δικῶν. VEMNp

book 774c *** E

book 776a ἀποστρέψαις] ἀποφύγοις. VE

book 776b ἀντιδικῶν ENp: ἀντὶ τοῦ "κατηγορῶν καὶ ἐναντιούμενος". EbisNp

book 777a ὀφλήσειν M: καταδικασθῆναι. R〈V〉EMbis

book 777b λείπει τὸ σοί. Ebis

book 777c μὴ παρόντων EbisM μαρτύρων M: σοι EbisM δηλονότι. Ebis

book 777d τοῖς γὰρ γραψαμένοις καὶ μὴ ἀποδεικνύουσιν ἐπεβάλλετο χρηματικὴ ζημία. καὶ εἰ μὴ κατὰ τὸ ὡρισμένον ἐξέτισεν, ὑπερήμερος VENp γενόμενος V ἀπεδίδου τετραπλοῦν. οἱ δὲ μὴ ἔχοντες τῖσαι καθείργνυντο εἰς τὸ δικαστήριον. πολλοὶ δὲ τοῦτο πεπόνθασι καὶ ὁ τοῦ ῥήτορος Ἀριστογείτονος πατήρ. VENp

book 778 φαυλότατα] εὐκολώτατα VRs καὶ V εὐχερῆ. VE

book 781 νὴ τοὺς θεοὺς ἔγωγ' M: λείπει RVEM τὸ REM καλῶς RVEMRs λέγω. RVEMbisRs

book 783a ὑθλεῖς RM: ἀντὶ τοῦ R "διόλου E φλυαρεῖς". RVENMbisRs ὕθλος γὰρ ὁ φλύαρος. RV

book 783b ἄπερρ': ἀντὶ τοῦ VM "φθάρηθι". VENM

book 784 ὁτιὴ τί M: ἀντὶ τοῦ "διὰ τί RVEMbis δή". EM τὸ δὲ "ὅτι" περιττόν. RVEM

book 786 ἀνακρίνει αὐτὸν εἰ μέμνηται. RVE

book 788alpha τίς ἦν ἐν ᾗ EM ματτόμεθα M: ὡς ἐπιλαθόμενος ἵσταται ἀναπολήσων. τὴν κάρδοπον δὲ θέλει εἰπεῖν. EM

book 788beta

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὴν κάρδοπόν φησιν. ὥσπερ ἐπιλαθόμενος ταῦτα λέγει. RV

book 790a ἐπιλησμότατον M: ἔδει εἰπεῖν ἐπιλησμονέστατον. Ἄλεξις δὲ "ἐπιλήσμη" φησί, Κρατῖνος "ἐπιλῆσμον". REM

book 790b σκαιότατον] ἀπαίδευτον. E

book 792a ἀπογαρολοῦμαι M: ὑπερβατόν. VEMRs ἀπολοῦμαι γάρ. VEM

book 792b τὴν γλῶτταν στρέφειν RVMRs καὶ ποικίλον ἐν τῷ λέγειν καθεστηκέναι. RV

book 792c γλωττοστροφεῖν E: ποικίλως λαλεῖν. EMbis

book 792d ἐκστρέφειν EM τὰ πράγματα E 〈καὶ εὐπορεῖν ἐν τῷ λέγειν〉 Su.

book 799a ἐπιτρέπεις] ἀντὶ τοῦ "συγχωρεῖς". E

book 799b εὐσωματεῖ γὰρ καὶ σφριγᾷ: ἐκ τοῦ ἐναντίου συγκατατίθεται· δέον γὰρ ἂν μανθάνειν τοιοῦτον ὑγιαίνοντα. εἰ μὴ ἄρα τοῦτο λέγει· ὅτι φοβοῦμαι αὐτόν. E

book 799c ἀντὶ τοῦ "ἰσχυρότερός μου ἐστὶ τὸ σῶμα". RV

book 800a alpha εὐπτέρων: τῶν VE τιμίων καὶ V εὐγενῶν. VEM ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ὀρνέων. VE

book 800a beta εὐπτέρων: ἀντὶ τοῦ ENp "εὐγενῶν". ἀπὸ τῶν ὀρνέων. RVENp

book 800b κούφων, ὧν ὁ λογισμὸς ἵπταται. RVENp

book 800c ἢ τῶν μετεώρων καὶ ὑπερηφάνων VE ἢ ἐπηρμένων. E

book 800d alpha ὡς δραπέτας αὐτοὺς διαβάλλει. E

book 800d beta τὴν Κοισύραν τὴν Μεγακλέους ἀστεϊζόμενος ὡς δραπέτας αὐτῆς αὐτοὺς διασύρειν θέλει. RV

book 800e εὐπτέρων τῶν Κοισύρας E: φρονουσῶν τὰ Κοισύρας· ἀντὶ τοῦ "μέγα φρονουσῶν". VENp

book 803 πρὸς τὸν Σωκράτην φησίν. RVMbis

book 804a alpha (804—813) ἆρά γ' αἰσθάνει: κορωνὶς καὶ διπλῆ, ὅτι ἕπεται περίοδος ἐκ τῶν ια′ κώλων ἑπτάκωλος ὁμοία τῇ προαποδεδομένῃ καὶ ποιοῦσα τὸ τέλος μεσῳδικὴν τετράδα. ἔστι δὲ αὐτῆς τὸ τέλος κῶλον ζ′ καὶ φανερῶς ἐπηρμένου, ὑφ' ὃ β′ διπλαῖ· ἔστι γὰρ τὸ λοιπὸν τρίκωλον ἐφ' ἑαυτοῦ. τούτων δὲ τὸ πρῶτον καὶ δεύτερον χοριαμβικὸν δίμετρον 〈ἀκατάληκτον καὶ〉 καταληκτικόν. τὸ γ′ ἰαμβικὸν πενθημιμερές. τὸ δ′ ἀπὸ ἰαμβικῆς βάσεως εἰσ χοριαμβικήν. τὸ ε′ καὶ ϛ′ ὁμοίως τοῖς πρώτοις. τὸ ζ′ ἀπὸ χοριαμβικῆς βάσεως εἰς ἰαμβικήν. τὸ η′ χοριαμβικὸν δίμετρον καταληκτικόν. τὸ θ′ χοριαμβικὸν δίμετρον. τὸ ι′ χοριαμβικὸν ἑφθημιμερές. E

book 804a beta 〈α′〉 χορίαμβος δίμετρος ἀκατάληκτος. 〈β′〉 χορίαμβος δίμετρος καταληκτικός. 〈γ′〉 ἴαμβος πενθημιμερής. 〈δ′〉 ἀπὸ ἰάμβου βάσεως εἰς χορίαμβον. V 〈ε′〉 ἴαμβος δίμετρος καταληκτικός. 〈ϛ′〉 ἴαμβος δίμετρος ἀκατάληκτος. VE 〈ζ′〉 ἀπὸ χοριάμβου βάσεως εἰς ἴαμβον. 〈η′〉 χοριαμβικὸν τρίμετρον ἀκατάληκτον. 〈...〉 〈ι′〉 χορίαμβος ἑφθημιμερής. V

book 804b αἰσθάνῃ(superscr. ει E; sic statim N)] πρὸς τὸν Σωκράτη EN φησὶν ὁ χορός. E

book 805 δι' ἡμᾶς M: τὸ ἑξῆς "δι' ἡμᾶς μόνας θεῶν". EM

book 808 ἅπαντα δρᾶν M: μισθούς σοι χορηγεῖν, οὓς ἐὰν βούλῃ. RVEM

book 810 ἐπηρμένου] ἀναπεπεισμένου. E

book 811a ἀπολάψεις RVEMNp: "ἀπολέψεις" ἀπολεπίσεις. ἐὰν δέ, EMNp ὡς 〈ἐν〉 τοῖς πολλοῖς, E "ἀπολάψεις", ἐκπίῃ· ἀπὸ τῶν κυνῶν ἡ μεταφορὰ EMNp καὶ ὅσα λάπτοντα πίνει. ENp καταστρέφει δὲ εἰς τὸ E ἀποκερδανεῖς ἢ ἀφαρπάσεις ἢ ἀποσπάσεις. RVE καὶ Ὅμηρος E λάψοντες γλώσσῃσιν. RVE

book 811b 〈ἕως οὗ ἐπιθυμεῖ πράξειν τὸν μισθόν.〉 Su. IV 721, 17

book 812alpha

φιλεῖ γάρ πως: ἔθος ἔχει, συμβαίνει γὰρ ἄλλως ἀποβαίνειν ἢ προσδοκᾷ τις. ἀντὶ τοῦ "εὐμετάβλητοί εἰσιν οἱ ἐξ ἐπιθυμίας ἀλόγου τισὶ συμβαλόντες". E εὐμετάβολοι γὰρ αἱ τῶν τοιούτων ἀνδρῶν γνῶμαι. VE

book 812beta ἀσύμβουλοι, φησίν, εἰσὶ καὶ ταχέως μεταβαλλόμενοι οἱ ἐξ ἐπιθυμίας ἀλόγου ἐπὶ τὰ μαθήματα ἀγόμενοι. E

book 813 ἕτερα (sic)] ἄλλως. E

book 814a (814—888) οὔ τοι μὰ τὴν Ὀμίχλην E: διπλῆ καὶ ἔκθεσις εἰς ἰάμβους τριμέτρους ἀκαταλήκτους οε′, ὧν τελευταῖος πρὸς πάντα 〈τὰ〉 δίκαι' ἀντιλέγειν δυνήσεται. ἔστι δὲ καὶ ὁ πρεσβύτης προελθὼν μετὰ τοῦ υἱοῦ καὶ διαλεγόμενος μετ' αὐτοῦ διὰ τὸ μὴ βούλεσθαι φιλοσοφεῖν. ENp

book 814b ὡς μύστης γεγενημένος τῶν φιλοσόφων τὴν Ὀμίχλην ὄμνυσι VENp μιμούμενος αὐτούς. VE

book 815a ἀλλ' ἔσθι' ἐλθὼν E: ὡς ἅπαντα καταφαγόντος τοῦ Μεγακλέους. ENp

book 815b τοὺς 〈...〉 κίονας: ὡς εἰ ἔλεγε τὸν πλοῦτον. ENp

book 815c τοὺς 〈...〉 κίονας E: ἐμφαίνει διὰ τούτων, ὅτι οὐδὲν αὐτῷ κατελείφθη, εἰ μὴ ἡ αὐλὴ Μεγακλέους. λέγεται γὰρ πάντα κατανηλωκὼς καταλελοιπέναι τοὺς λίθους τῆς οἰκίας. αἰνίττεται οὖν εἰς τὴν ἀσωτίαν τοῦ υἱοῦ, ὅτι πάντα κατανάλωσεν αὐτοῦ, καὶ οὐδὲν ἔτι καταλείπεται. ENp

book 815d κίονας: ἀντὶ τοῦ "τοὺς λίθους τῆς Μεγακλέους οἰκίας". οὗτοι γὰρ μόνοι κατελίπησαν αὐτῷ πάντα καταφαγόντι. R

book 815e 〈...〉 V

book 818 Δία] Σύμμαχός φησιν ἐκτείνεσθαι τὸ α τοῦ Δία ἀττικῶς. E

book 819a εἴ γε καὶ αὐτὸς ἐπὶ τούτοις ἐπετιμήθη παρὰ Σωκράτους. RVE ταὐτὰ δὲ πειρᾶται τὸν υἱὸν διδάσκειν, καταγελᾷ δὲ αὐτοῦ ὡς μὴ δεόντως τὸν Δία ὀμνύντος μηδὲ 〈δέον〉 νομίζεσθαι. RVEM

book 819b ὄντα M τηλικουτονί EM: ἀντὶ τοῦ "τελείαν ἔχοντα τὴν ἡλικίαν καὶ ὀφείλοντα πάντα εἰδέναι". RVEM

book 821 ἀρχαϊκά V: μωρά, RVENM εὐήθη, RVEM λῆρα. VEM

book 822 εἰδῇς] μάθῃς. E

book 824a ὅπως δὲ τοῦτο μὴ διδάξῃς E: ὡς ἐπὶ τῶν φθονούντων διδασκάλων. RVE

book 824b ὡς καὶ αὐτὸς παρηγγέλθη νομίσαι δὲ ταῦτα χρὴ μυστήρια. RVE

book 825 ἰδού] πλησιάσας αὐτῷ φησι τὸ "ἰδού". E

book 828 ἐξεληλακώς] διώξας. ERs

book 829 αἰβοῖ EM: γελῶν λέγει τὸ "αἰβοῖ". ἔστι δὲ ἐπίρρημα σχετλιαστικόν. REM

book 830a Σωκράτης R ὁ Μήλιος REN: παρ' ἱστορίαν. Ἀθηναῖος γὰρ ὁ Σωκράτης· ἀλλ' ἐπειδὴ Διαγόρας Μήλιος ὢν διεβάλλετο ὡς θεομάχος, καὶ τὸν Σωκράτην δὲ ὡς ἄθεον διαβάλλει, διὰ τοῦτο αὐτὸν Μήλιον ἔφη. RVEN

book 830b ὁ Μήλιος E: ἀντὶ τοῦ "ὁ ἀσεβής". VE Ἀρισταγόρου γὰρ τοῦ Μηλίου μαθητὴς ὁ Σωκράτης. διεβέβληντο δὲ ἐπ' ἀθεΐᾳ οἱ Μήλιοι ἀπὸ Διαγόρου, ὃς χρήματα παραθέμενός τινι καὶ ἀποστερηθεὶς εἰς ἀθεΐαν ἐτράπη· ἢ διότι Μῆλον ἐπολέμησαν Ἀττικοί. E

book 830c alpha Ἀρισταγόρας ἐγένετο Μήλιος διθυραμβοποιός, ὃς τὰ ἐν Ἐλευσῖνι μυστήρια ἐξορχησάμενος καὶ ἐξειπὼν ἀσεβέστατος ἐκρίθη. ἀπ' ἐκείνου οὖν τοὺς Μηλίους ἐπὶ ἀσεβείᾳ κωμῳδοῦσιν. V

book 830c beta οἱ δέ, ἐπειδή τις Ἀρισταγόρας διθυραμβοποιὸς Μήλιος ἐξωρχήσατο τὰ Ἐλευσίνια. E

book 830d alpha οἱ δὲ Μήλιον τὸν καταπραΰνοντα τῇ διδαχῇ τὰς ψυχὰς τῶν μηλίων. E

book 830d beta τινὲς ἐξεδέξαντο "〈τὸν〉 τὰς τῶν εἰσιόντων ψυχὰς ὀξύνοντα πρὶν εἰσελθεῖν ἠγριωμένας". ἀπὸ μεταφορᾶς τῶν ἀλόγων θηρίων· μῆλα γὰρ τὰ θρέμματα. VE

book 830e alpha οἱ δὲ τὸν κομῶντα, τὸν δασύν. E

book 830e beta οἱ δὲ εἰς τὸ δασὺ καὶ αὐχμηρὸν νοοῦσιν αὐτό. VE

book 830f οἱ δὲ παρέλαβον οὕτως· 〈ὡσ〉 Διαγόρας ὁ Μήλιος, ὃς τὸ μὲν πρότερον ἦν θεοσεβής, παρακαταθήκην δὲ ὑπό τινος ἀφαιρεθεὶς ἐπὶ τὸ ἄθεος εἶναι ἔδραμεν· ἐφ' οὗ οἱ Ἀθηναῖοι ἀγανακτήσαντες τὴν Μῆλον ἐκάκωσαν. VE

book 830g Διαγόρας γέγονέ τις βλάσφημος ἐπὶ τὸ θεῖον Μήλιος. καί ποτε, φασίν, ἐν πανδοκείῳ εὑρεθεὶς καὶ μὴ εὑρὼν ξύλα, ἀλλ' ἄγαλμα Ἡρακλέους· ἄγε, φησίν, ὦ Ἡράκλεις, τρισκαιδέκατον ἡμῖν ἆθλον ἐπιτέλεσον, καὶ ἕψησον τὴν φακήν. E

book 831 τὰ ψυλλῶν ἴχνη λέγει γινώσκειν τὸν Χαιρεφῶντα διὰ τὴν ζήτησιν ψύλλαν ὁπόσους ἅλοιτο τοὺς αὐτῆς πόδας. RV

book 832 μανιῶν R: ἀττικῶς ἀντὶ τοῦ "τῆς μανίας". RVM

book 833a χολῶσιν V: μαινομένοις. VENM

book 833b εὐστόμει] εὐφήμει RVM ἢ σιώπα. M

book 834a 834] μηδὲν εἴπῃς περὶ αὐτῶν βλάσφημον. RVEM

book 834b ἀντὶ τοῦ R "κακόν". RVE

book 834c δεξιούς] λείπει ἡ εἰς. RVE

book 834d δεξιούς] εἰς δεξιούς. RVEM

book 835a ὧν ὑπὸ τῆς φειδωλίας EM: ὡς κομῶντας διαβάλλει τοὺς φιλοσόφους. ταῦτα δὲ ἐποίουν οἱ φιλόσοφοι διὰ καρτερίαν. VEMNp ὁ δέ φησιν, ὅτι οὐ διὰ VENp καρτερίαν καὶ ENp ἀρετὴν τοῦτο ἐποίουν, ἀλλὰ διὰ σμικρολογίαν. VENp

book 835b ἃ γοῦν ἀπ' ἐγκρατείας ἐποίουν οὗτοι, οὗτος ἀπὸ φειδωλίας φησίν. RVENp

book 835c δοκῶν ἐπαινεῖν ψέγει. RVENp ἀντὶ γὰρ τοῦ εἰπεῖν "καρτερίας" εἶπε "φειδωλίας". RVE

book 838a ἤδη γὰρ ὥσπερ τεθνεῶτός μου καταλούει. E

book 838b alpha καταλούει μου τὸν βίον M: δαψιλῶς ἀναλίσκεις μου τὸν βίον. ἐκ μεταφορᾶς τῶν ἐκχυνομένων ὑδάτων ἐν τοῖς βαλανείοις. EM

book 838b beta καταλούει ENp: καταναλίσκεις EbisNpbis εἰς λουτρά. RENp

book 838c alpha ἐντρυφᾷς· EbisMNp ὡς καὶ τοῦ βαλανείου διὰ τὴν τρυφὴν ὄντος. E

book 838c beta εἰς τρυφὴν καταναλίσκεις. RV

book 838d alpha ἐπεὶ ἔθος ἦν μετὰ τὴν ἐκκομιδὴν τοῦ νεκροῦ λούεσθαι τοὺς κατ' οἶκον καθαρμοῦ χάριν. E

book 838d beta καταλούει μου τὸν βίον R: ἔθος ἦν μετὰ τὸ ἐκκομισθῆναι τὸ σῶμα καθαρμοῦ χάριν ἀπολούεσθαι τοὺς οἰκείους τοῦ τεθνεῶτος. RV

book 838e τὴν κατά πρόθεσιν εἰς ἐπίτασιν παραλαμβάνουσιν, ὡς ἐπὶ τοῦ καταφαγεῖν. οὕτως δὲ ἐπὶ τοῦ "καταλούει μου τὸν βίον". V

book 838f βίον R: τὴν περιουσίαν. REbisNp

book 841a ἀντὶ τοῦ "ἀληθῶς, πάνυ". οὕτω λέγει ἐπὶ τοῦ ἐπιρρηματικοῦ. RV

book 841b ἄληθες: ἐὰν μὲν προπαροξυτόνως, αὐτὸ τὸ ἀληθὲς λέγει· ἐὰν δὲ ὀξυτόνως, τὸ πρᾶγμα δηλοῖ τὸ μετέχον τῆς ἀληθείας. ENp

book 842a παχύς] ἀναίσθητος, RVEMbis ἀνόητος. RVEMbisRs

book 842b παχύς RE: εἰς τὸ νοεῖν. RVEMbis

book 844 (844—846) καθ’ ἑαυτόν φησι ταῦτα ὁ Φειδιππίδης. Rs

book 845a πότερον παρανοίας: οἷον E πρὸς τὸν πατέρα δικάσομαι, καὶ δείξας αὐτὸν μαινόμενον οὕτω τὴν μανίαν παύσω; VE

book 845b καταγαγὼν ἔλω V: ἀντὶ τοῦ RVMNp “εἰς τὸ δικαστήριον EMbis- Np Rs εἰσαγαγὼν EMNp Rs κατηγορήσω RVEMNp Rs αὐτοῦ ὡς παραφρονοῦντος”. RVEMNp

book 846a ἢ ENp τοῖς σοροπηγοῖς EMNp: τουτέστι ENp τοῖς ποιοῦσι σοροὺς τοῖς νεκροῖς. EMbisNp χλευάζει δὲ τὸν πατέρα ὡς πρεσβύτην EMNp καὶ γειτονεύοντα τῷ θανάτῳ. ENp

book 846b τοῖς RE σοροπηγοῖς REN: τοῖς τὰς σοροὺς τῶν ἀποθνησκόντων ποιοῦσιν. RVEN τουτέστιν ἄλλην ἴασιν οὐχ ἕξει ἢ τὸν θάνατον, καὶ δέον αὐτῷ τὰ πρὸς τὴν ταφὴν ἐπιτήδεια κατασκευάζειν. RVENNp

book 846c ἵνα ποιήσωσιν αὐτῷ σορὸν δηλονότι ἐγγὺς ὄντι τοῦ ἀποθανεῖν. R

book 847 τουτονὶ] ἀλεκτρυόνα ἐκφέρει καὶ ἀλεκτρύαιναν. E

book 850 ἀντὶ τοῦ “οὕτω καλέσῃς”. RE

book 853 παρὰ τοὺς γηγενεῖς EM: διὰ τὸ ὠχροὺς καὶ νεκρώδεις εἶναι. RVEMbisRs ἢ ἀσεβεῖς καὶ θεομάχους, RVEMbisN διὰ τοὺς γίγαντας· RVEMN οὗτοι γὰρ θεομάχοι. ENM διαβάλλει δὲ αὐτοὺς EM ὡς θεομάχους. M

book 855 ὑπὸ τοῦ πλήθους τῶν ἐτῶν R: ὑπὸ τοῦ γήρως. RVEM προεῖπε γὰρ πῶς οὖν γέρων ὢν κἀπιλήσμων RV καὶ βραδὺς λόγων ἀκριβῶν σκινδαλμοὺς μαθήσομαι; V

book 857a alpha καταπεφρόντικα EM- Np: εἰς τοὺς φροντιστὰς ἀνάλωσα· RVEMbisANp ὡς εἰ ἔλεγε “καταπεφρόνηκα”. EMNp

book 857a beta παρ’ ὑπόνοιαν ἀντὶ τοῦ “καταπεφρόνηκα” ὑπὸ φιλοσοφίας “εἰς τοὺς φροντιστὰς ἠνάλωσα” λέγων. Rs

book 857b εἰς τὴν παίδευσιν καταδεδαπάνηκα. RVENMNp

book 859a ὥσπερ Περικλέης: Περικλῆς πολλῶν ὄντων χρημάτων ἐν τῇ ἀκροπόλει εἰς τὸν πόλεμον τὰ πλεῖστα ἀνάλωσεν. φασὶ δέ, ὅτι καὶ λογισμοὺς διδοὺς τάλαντα κʹ ἁπλῶς εἶπεν εἰς τὸ δέον ἀναλωκέναι. φησὶ δὲ Ἔφορος, ὅτι μετὰ ταῦτα μαθόντες οἱ Λακεδαιμόνιοι Κλεανδρίδην μὲν ἐδήμευσαν, Πλειστοάνακτα δὲ ιεʹ ταλάντοις ἐζημίωσαν ὑπολαβόντες δωροδοκήσαντας αὐτοὺς φείσασθαι τῆς λοιπῆς Ἀθηναίων γῆς τοὺς περὶ τὸν Περικλέα, ἵνα γυμνῶς εἴπῃ· ὅτι δέδωκα τοῖς Λακεδαιμονίων βασιλεῦσι τόδε. E

book 859b εἰς τὸ δέον ἀπώλεσα M: Περικλῆς Ἀθηναίων στρατηγὸς χρήματα τοῦ δημοσίου λαβὼν εἰς τὸ κατασκευάσαι ὁλόχρυσον ἄγαλμα τῇ Ἀθηνᾷ, ἐλεφάντινον ποιήσας τὰ πολλὰ ἐσφετερίσατο συμποιησάμενος μετὰ Φειδίου τοῦ πλάστου. κατακρινόμενος δέ, ὡς πλεῖστα ἀνηλώκει, ἔφασκεν εἰς τὸ δέον ἀνηλωκέναι. ἐξ ἐκείνου δὲ καὶ αὕτη γέγονεν ἡ παροιμία. εἰ γάρ τι ἦν τις ἀναλώσας καὶ ἠρωτᾶτο, ποῦ ἀνηλώθη, ὑπὸ μεγαλονοίας ἔλεγεν εἰς τὸ δέον ἀνηλωκέναι. EM

book 859c ὁ Περικλῆς τοῖς ἐφόροις Λακεδαιμονίων Κλεανδρίδῃ καὶ Πλειστοάνακτι χρήματα δέδωκεν ὑπὲρ προδοσίας. καὶ τούτων ἀπαιτούμενος ὑπὸ τῆς πόλεως λόγον, οὐκ ἀξιῶν ἑαυτόν τε καὶ τοὺς Λακεδαιμονίους καταισχύνειν ἔλεγεν εἰς δέον ἀνηλωκέναι. τοῦτο δὲ γνόντες Λακεδαιμόνιοι τὸν μὲν Κλεανδρίδην ἐφόνευσαν, τὸν δὲ Πλειστοάνακτα πεντεκαίδεκα ταλάντοις ἐζημίωσαν οἰηθέντες αὐτοὺς διὰ τοῦτο φείσασθαι τῆς λοιπῆς Ἀθηναίων γῆς. E

book 859d

ὥσπερ Περικλέης R: Περικλῆς Ἀθηναίων στρατηγὸς λόγον ἀπαιτούμενος ὑπὲρ χρημάτων καὶ δεδωκὼς χρήματα Κλεάνδρῳ τῷ ἁρμοστῇ Λακεδαιμονίων ἐπὶ προδοσίᾳ τοῦτο οὐκ ἐδήλου, ἀλλ' εἰς τὸ δέον ἔλεγεν ἀναλῶσαι ταῦτα. RV

book 860alpha ἀλλ' ... ἴωμεν] τρίτον τὸ αὐτό φησι προτρεπόμενος τὸν υἱόν. E

book 860beta προτρεπόμενος αὐτὸν τρίτον τὸ αὐτὸ λέγει. V

book 860-861a εἶτα τῷ πατρὶ EM πειθόμενος VEM ἐξάμαρτε VM: ἀντὶ τοῦ "ἔχεις ἀπολογίαν, ὅτι τῷ πατρὶ πειθόμενος ἐξήμαρτες". RVEM

book 860-861b ὠφελήθητι καὶ ἁμάρτανε δι' ἐμέ. RVEMbis

book 861 τοι] τὸ "τοι" V ἀντὶ τοῦ "δή". VE

book 862a alpha ἐξέτει] οὕτω βαρέως Ἀττικοί. E

book 862a beta οὕτως Ἀττικοὶ βαρύνουσιν "ἑξέτει". V

book 862b alpha τραυλίσαντι EM: ψελλίσαντι, ἄσημον ἀφέντι φωνήν. ENMbis

book 862b beta τραυλίσαντι V: ἀντὶ τοῦ R "ψελλίζοντι, ἄσημον φωνὴν προϊέντι. RV

book 863 ἡλιαστικόν: ἀντὶ τοῦ EM "ἐκκλησιαστικόν". RVEMbis οὐχ ἵστατο δὲ τῶν δικαστῶν ὁ μισθός. REM

book 864a alpha Διασίοις E: ἑορτὴ τοῦ Διός. E

book 864a beta Διασίοις ἁμαξίδα R: Διάσια ἑορτὴ τοῦ Διὸς παρ' Ἀθηναίοις. ἁμαξὶς δὲ πλακοῦντος εἶδος, ἣν νῦν κοπτήν φαμεν. Σύμμαχος δὲ τὸ μικρὸν ἁμάξιον. ταῦτα γὰρ τοῖς παιδίοις ἠγόραζον. RV

book 864b alpha ἁμαξὶς τὸ μικρὸν ἁμαξίδιον. ἢ πλακοῦντος εἶδος, ἣν νῦν κοπτήν φαμεν. ENp

book 865a ἦ μὴν ENp σὺ τούτοις E: προαναφωνεῖ αὐτῷ ἃ μέλλει ποιῆσαι. ENp

book 865b ἀχθέσῃ V: ἀντὶ τοῦ "λυπηθήσῃ ποτέ", ἐὰν μάθω RVENp δηλονότι. R

book 865c τοῦτο λέγει πεισθεὶς τῷ πατρί· διὸ καὶ ὁ πατὴρ ἐπιφέρει VENp εὖ γ' ὅτι ἐπείσθης. VE

book 868a νηπύτιος ENM γάρ EM ἐστ' ἔτι M: νήπιος RVENMbisNp γάρ RVEMNp ἐστιν. RVMNp ἐπεκτείνει δὲ τὸ ὄνομα ὁ Σωκράτης, ἵνα καταπλήξῃ τὸν νεώτερον RVENMNp νῦν εἰσελθόντα. VENMNp

book 868b νηπύτιος] καὶ μωρός· ἀπὸ τοῦ "νήπιος" νηπύτιος κατὰ παραγωγήν. Rs

book 869a ἐφ' ὧν κρέμανται οἱ φιλόσοφοι. VE

book 869b καὶ τῶν κρεμαθρῶν N: λέγει τῶν ὀργάνων τῶν ἀστρονομικῶν καὶ γεωμετρικῶν. RVENMNp

book 869c κρεμάθρα γὰρ ἐν τῷ φροντιστηρίῳ RVEM οὕτω μὲν εἰ κρεμαστῶν RV γράφεται. REM

book 870a ἐπεὶ αὐτὸς ἐπὶ τῆς κρεμάθρας ἦν. EN

book 870b ἀλλὰ σὺ αὐτὸς τρίβων ἂν εἴης EM: ἐκ τῶν κρεμαστρῶν δηλονότι. τετριμμένος ἂν εἴης ἀεὶ κρεμάμενος. RVEMNp

book 872a ἰδοὺ κρέμαιό γε: διέλκων ὁ Σωκράτης τὴν φωνὴν ἔριν μιμούμενος ὅτι κακῶς τῷ στόματι εἶπε τὸ "κρέμαιό γε". EM

book 872b ὡς ἀτάκτως εἰπόντος τοῦ Φειδιππίδου. M

book 872c ἰδοὺ κρέμαιο N: τὴν φωνὴν μιμούμενος VENM ὁ Σωκράτης VEN φησίν. VE

book 872d alpha ἠλίθιον M: μωρῶς, ἀπαιδεύτως, EM ἀνοήτως. EN

book 872d beta ὡς ἠλίθιον R: ὡς μωρὸν καὶ ἀπαίδευτον καὶ ἀνόητον. RV

book 873a καὶ τοῖσι χείλεσι διερρυηκόσι EM: διακεχηνόσι τοῖς χείλεσιν. RVEM

book 873b διερρυηκόσιν] κεχαλασμένοις καὶ κεχηνόσιν, 〈οὐ〉 συνεστραμμένοις. EM

book 875a κλῆσιν: τὴν μαρτυρίαν. RVENMA

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 875b χαύνωσιν: λύσιν τῶν δικῶν. RVENMA

book 875c ἀναπειστηρίαν V: οἵαν ἀπατᾶν RVENMA καὶ κενῷ ῥήματι ἀναπείθειν τοὺς ἀκούοντας. RVENM 〈παρὰ τὸ πείθειν τὴν δίκην.〉 Su.

book 875d 〈ἀναπειστηρίαν: δυναμένην πείθειν τοὺς ἀκούοντας.〉 Su. I 181, 16

book 875e ἢ χαύνωσιν ἀναπειστηρίαν] ὥστε χαυνῶσαι καὶ ἀναπεῖσαι τοὺς ἀντιδίκους. ERs

book 876a ἀξιοπιστεύονται ἀεὶ οἱ διδάσκαλοι λέγοντες· ἔλαττον τοσοῦδε οὐ λαμβάνων ἐπὶ τούτῳ τῷ ἀναγνώσματι. καὶ ἐπαγγέλλονται προνοήσασθαι τῶν καινῶν μαθημάτων ὅσων προνοοῦσι μάλιστα. E

book 876b Ὑπέρβολος R: ὡς ἀπαίδευτον τοῦτον κωμῳδεῖ καὶ ὀψιμαθῆ. RE

book 877a θυμόσοφός R: ἀντὶ τοῦ “εὐφυής, εὐμαθής”. RV

book 877b ἐκ τοῦ ἰδίου θυμοῦ σοφός, καὶ οὐκ ἐκ μαθήσεως. RVE

book 877c θυμόσοφός EM ἐστι M: ἐκ φύσεως ἔχει τὴν σοφίαν. EMbis

book 878 δεικτικῶς RVEM φησιν EM ἀντὶ τοῦ “μικρόν”. RVM

book 879 ἔπλαττεν ἔνδον M οἰκίας RM: ἀντὶ τοῦ RVM “ἀπὸ πηλοῦ οἰκίας ἐποίει”. RVMbis

book 880a 880] δερματίνας RVEMRs ἁμάξας ἐποίει. E

book 880b οἷα εἰώθασιν οἱ παῖδες ποιεῖν. RVEM

book 881a κἀκ τῶν σιδίων REM: ἐκ τῶν λεπύρων τῶν ῥοιῶν. RVEM

book 881b alpha ἐκ μὲν τῶν δερμάτων τροχοὺς καὶ ἁμάξια, ὅταν δὲ καταφάγωσι τὰ ἐντός, ἐκ τῶν λεπύρων βατράχους γλύφουσιν. EM

book 881b beta τὰ παιδία ἐκ μὲν τῶν δερμάτων περιέτεμνε τροχοὺς καὶ ἁμάξια, ἐκ δὲ τῶν ῥοιῶν ὅταν καταφάγωσι τὰ ἐντός, ἐκ τῶν λεπύρων βατράχια γλύφουσιν. RV

book 881c πῶς δοκεῖς: θαυμάζων προφέρεται. RVEM

book 881d καθ’ ἑαυτόν. βούλεται δὲ αὐτὸν ἐκ παιδὸς ἀποδεῖξαι εὐφυᾶ EM καὶ γλύφειν ἀστείως δυνάμενον. E

book 885a ἐὰν δὲ μὴ RVE οἷός τε ᾖ τοὺς δύο μαθεῖν. RVEM

book 885b τὸν ἄδικον μαθήσεται. V

book 885c πάσῃ τέχνῃ] παντὶ τρόπῳ. RVEM

book 886a αὐτὸς μαθήσεται Rs: τοὺς παρόντας τρεῖς στίχους τινές φασι πάντας τὸν Σωκράτη λέγειν. ἀμέλει καὶ τὸ “μέμνησο” ἐσχηματισμένον πρὸς τὸν Στρεψιάδην· ὅτι ποτὲ μαθὼν ὁ υἱός σου καὶ ἀντιλέγων τυπτήσει σε. ERs

book 886b ἀντὶ τοῦ “αὐτοὶ οἱ λόγοι διδάξουσιν αὐτόν”. VEM

book 887 ἀπέσσομαι] γρ. E ἀπέρχομαι. EA

book 889a alpha τοῦ χοροῦ τὸ πρόσωπον ἐκλέλοιπεν, ἐπιγραφὴ δὲ φέρεται “χοροῦ”. VEBarb RsNp

book 889a beta ἐπιγραφὴ ἐνταῦθα φέρεται “χοροῦ”, ἐκλέλοιπε μέντοι. ERs

book 889b χώρει δευρί M: ὁ κρείττων λόγος καὶ ὁ ἥττων διαλέγονται. RVEM- Barb RsNp

book 889c ὑπόκεινται ἐπὶ τῆς σκηνῆς ἐν πλεκτοῖς οἰκίσκοις οἱ λόγοι δίκην ὀρνίθων διαμαχόμενοι. VEBarb RsNp

book 889d χώρει δευρί ERs: διπλῆ καὶ κορωνὶς ἀποχωρησάντων τῶν ὑποκριτῶν. VEBarb Rs μέλος δὲ τοῦ χοροῦ οὐ κεῖται, ἀλλὰ γέγραπται μὲν ἐν μέσῳ “χοροῦ”. καὶ ἕπεται ἐν εἰσθέσει ἀναπαιστικὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

〈ἀμοιβαῖον〉 τῶν ὑποκριτῶν. καὶ δὶς τὰ πρόσωπα οὐδὲ τελείας ἔχει τὰς συζυγίας. VERs ἔστι δὲ τὰ πάντα κῶλα οδ′, ὧν V τὰ πρῶτα δ′ ἀναπαιστικὰ VRs δίμετρα ἀκατάληκτα. Rs

book 891a τοῦτο ἐκ τοῦ Τηλέφου Εὐριπίδου ἴθ’ ὅποι χρῄζεις· οὐκ ἀπολοῦμαι τῆς σῆς Ἑλένης οὕνεκα. VERs

book 891b ἴθι, πορεύου. V

book 893a ἀπολεῖς σὺ τίς ὤν;] ἀναπαιστικὸν μονόμετρον. ERs

book 893b ἀπολεῖς σὺ] ἐρωτηματικῶς. RV

book 893c ἥττων] ἄδικος. EM

book 894a ἀλλά] ἥττων μέν εἰμι. E

book 894b ἀλλά] εἰ καὶ ἥττων εἰμί, ὅμως. M

book 895 σοφὸν] δίκαιον. E

book 896 γνώμας καινὰς] ἀντὶ τοῦ “τρόπους καινούς”. E

book 897 ταῦτα γὰρ ἀνθεῖ N: τοῦτο λέγει ὡς παρορωμένου τοῦ δικαίου παρ’ Ἀθηναίοις· διὸ καὶ “ἀνοήτους” αὐτοὺς εἶπεν. ENMA

book 901 ἀνατρέψω] ποιήσω δοκεῖν τὰ δίκαια ἄδικα. E

book 902 δίκην] ἀντὶ τοῦ R “δίκαιον”. RVM

book 903a οὐκ εἶναι φῄς;] δίκην. E

book 903b φέρε γάρ] οὐ δηλονότι. E

book 904a παρὰ] ἐν. E

book 904b τοὺς θεούς] τοῖς θεοῖς. V

book 904c δίκης] δικαιοσύνης. EM

book 905a οὐκ ἀπόλωλε] οὐ διεφθάρη. ERs

book 905b τὸν πατέρ’ αὑτοῦ δήσας] ὅτι παιδοκτόνος ἦν. RV

book 906 αἰβοῖ τουτὶ VM καὶ δὴ V: γελᾷ ὁ δίκαιος. RVM

book 907a χωρεῖ] προκόπτει. VM κινεῖται, ὁρμᾷ. E

book 907b δότε μοι λεκάνην V: ὡς ναυτιῶν ὑπὸ τῆς ἐκείνου ψυχρολογίας RVEMRs τοῦτό φησιν. ERs

book 907c λείπει τὸ RbisV “ἵν’ ἐμέσω”. RbisVers χολὴ γάρ μοι ἐπιπλέει διὰ τὰ αὐτοῦ ῥήματα. RbisVM

book 908a τυφογέρων M: ἐσχατόγηρως· RVEM ἢ ὑπερήφανος. RVM

book 908b ἀνάρμοστος V: ἀνακόλουθος, VMpr. μηδενὶ ἁρμοζόμενος, RVMpr. κακός, Mpr. ἀπαίδευτος. EMalt.

book 909 καταπύγων] ἄτακτος, ἡταιρηκώς. E

book 910a ἐμοὶ τὰ παρὰ σοῦ εἰρημένα ῥόδα ἐστίν. RV

book 910b alpha κακοῦργος καὶ ἀναιδής. καθ’ ὁμοίωσιν τοῦ περὶ τοὺς βωμοὺς λοχῶντος θύματα ἐσθίειν· αἰτοῦσι γὰρ οὗτοι λαβεῖν τι. EN

book 910b beta βωμολόχος: ἀντὶ τοῦ “κακοῦργος, ἀσεβής”. ἀπὸ τῶν λοχώντων τὰ ἐν τοῖς βωμοῖς ἐπιτιθέμενα θύματα· RVM ἢ τοὺς θύοντας, ἵνα αἰτήσαντες λάβωσί τι. V

book 911a 〈κρίνεσι στεφανοῖς: τουτέστιν αἱ λοιδορίαι αἱ παρὰ σοῦ στέφανοί μοί εἰσιν ἐκ κρίνων.〉 Su. III 189, 5

book 911b οὕτως ἔκλινεν ὡς ἀπὸ τοῦ “τὸ κρίνος”, ὡς τὸ τεῖχος. τινὲς δέ φασι μεταπλασμὸν RV αὐτὸν V εἶναι. RV

book 911c

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μεταπλασμὸς τὸ “κρίνεσι”: κρίνοις γὰρ ἔδει. ERs

book 911d κρίνεσι] ἡ εὐθεῖα τὸ κρίνος. M

book 912 χρυσῷ πάττων μ’] πλήρη ποιῶν σὺ ἐμὲ χρυσοῦ. E

book 913a οὐ δῆτα πρὸ τοῦ γ’ ENM: πρὸ τοῦ χρυσοῦ. RVENMA μολίβδῳ καὶ ἀτιμίᾳ ὡς νυνὶ μᾶλλον τῶν κακῶν ἀνθούντων. RVENMARS διὸ καὶ ἐκεῖνος ἐπιφέρει νῦν δέ γε κόσμος τοῦτ’ ἔστιν ἐμοί. RVENMA

book 913b μολίβδῳ] γρ. μολύββῳ· παλαιὸν γάρ ἐστιν. Rs

book 914 τοῦτ’] ἤγουν τὸ τοιαῦτα ἀκούειν. Ebis

book 915a πολλοῦ] πάνυ. VE

book 915b ἀρχαῖος] λῆρος. RVE

book 916a διὰ σὲ φοιτᾶν οὐδεὶς ἐθέλει τῶν μειρακίων M: τοῦ αὐτοῦ δεῖ πάντα εἶναι, τοῦ ἥττονος λόγου. οὐ θέλει γὰρ τὰ μειράκια, φησί, διὰ τὴν σὴν εὐήθειαν φοιτᾶν μαθησόμενα τὰ χρήσιμα μαθήματα. RVEM

book 916b λείπει RM τὸ R πρὸς ἐμέ. RM

book 916c οὐχ ὡς ἄνω εἴρηται ὁ ἥττων, ἀλλ’ ὁ κρείττων ταῦτά φησιν. τοῖς γὰρ δικαίοις οὐδεὶς προσανέχει τῶν παίδων, ἀλλὰ μᾶλλον τοῖς ἀδίκοις καὶ ἀτάκτοις. M

book 920a αὐχμεῖς αἰσχρῶς: ὁ ἄδικος λόγος φησίν. ἀντὶ τοῦ M “ῥυπαρὸς εἶναι δοκεῖς”. RVENMbis ὡς τοῦ δικαίου παρορωμένου. RVENM

book 920b εὖ πράττεις] ἀντὶ τοῦ “εὖ λέγεις”. RV

book 922a alpha διαβάλλει τὸν Εὐριπίδην ὡς πτωχὸν εἰσενεγκόντα τὸν Τήλεφον, RVEMA περὶ οὗ καὶ 〈...〉 κωμῳδεῖται. RVEM

book 922a beta τοῦτον γὰρ Εὐριπίδης ὡς πτωχὸν εἰσήγαγεν. EM

book 922b οἷον πτωχὸν Εὐριπίδης συσκευάζει τὸν Τήλεφον στρατηγὸν ὄντα Μυσίας EMRs μετὰ πηριδίου ἐλθόντα προσαίτην εἰς τὴν Ἑλλάδα καὶ τῆς Ἀγαμέμνονος αὐλῆς μόλις ποτὲ πυλωρὸν γεγονότα· διὸ καὶ κωμῳδεῖται. ERs

book 924a γνώμας τρώγων πανδελετίους M: ἀντὶ τοῦ εἰπεῖν “ἄρτους RVEM καθαροὺς ἢ EM ξηρούς” εἶπε “γνώμας” RVEM καινάς. V

book 924b τρώγων] σύ. E

book 924c πανδελετίους: οὕτως εἶπεν· ἀντὶ ἄρτων τῇ πανουργίᾳ σιτούμενος. διαβάλλει δὲ τοὺς ῥήτορας ὡς ἐκ τῶν πτωχῶν πλουτοῦντας. ENM

book 924d πανδελετίους Rs: ἤτοι ζῶν ἀπὸ συκοφαντιῶν. Πανδέλετος γὰρ ῥήτωρ ἀθηναῖος καὶ συκοφάντης ERs γνώμας καινὰς ἐφευρίσκων. E

book 924e alpha 〈ἦν εἷς τῶν περὶ τὰ δικαστήρια διατριβόντων.〉 Su. IV 19, 4

book 924e beta ὁ Πανδέλετος τῶν περὶ τὰ δικαστήριά ἐστι διατριβόντων RV δικαστῶν ἢ καὶ V συκοφαντῶν, RV ἤγουν φιλόδικος καὶ γράφων ψηφίσματα. V

book 924f alpha πανδελετίους M: Πανδέλετος συκοφάντης καὶ φιλόδικος γράφων ψηφίσματα. ENMA

book 924g πανδελετίους E: δυστρόπους. RVbisEbisRs

book 924h μέμνηται τοῦ Πανδελέτου καὶ Κρατῖνος NM Χείρωσιν. οὗτος καὶ ψηφίσματα ἔγραψεν. M

book 928a λυμαινόμενον τοῖς μειρακίοις M: ἀντὶ τοῦ “ἐνυβρίζοντα”. RVM

book 928b alpha οὕτως αὐτοῖς σύνηθες συντάσσειν, οὐχὶ “τὰ μειράκια λυμαινόμενον”. VM

book 928b beta

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῖς μειρακίοις] ἀντὶ τοῦ “τὰ μειράκια”. R

book 929a οὐχὶ διδάξεις M: ἀντὶ τοῦ VM “οὐκ ἐῶ σε RVM διδάξαι VM τοῦτον”. δείκνυσι δὲ τὸν Φειδιππίδην. M

book 929b Κρόνος: ἀντὶ τοῦ “ἀρχαῖος, λῆρος”. RVM

book 930alpha λείπει τὸ διδάξω. RVE

book 930beta εἴπερ γ’] διδάξω αὐτὸν δηλονότι. ARs

book 931 λαλίαν] φλυαρίαν. E

book 932 ταῦτά φησιν ἐπιλαβόμενος τοῦ μειρακίου. RV

book 935alpha σύ τε] ὦ δίκαιε. EARs

book 935beta ἀλλ’ ἐπίδειξον σύ M: τῷ δικαίῳ φησίν. RM

book 936alpha σύ τε] ὦ ἄδικε. ERs

book 936beta τῷ ἀδίκῳ. RM

book 938 φοιτᾷ RM: ἀντὶ τοῦ “φοιτήσει”. RVM

book 938alpha εἰ δέ ἐστι “φοιτᾶν”, M

book 938beta ἐὰν δὲ ᾖ “φοιτᾶν” μετὰ τοῦ ν, RV

book 938 λείπει τὸ ποιήσω, ἵν’ ᾖ· ποιήσω τὸν παῖδα φοιτᾶν τῷ ἐλλογιμωτέρῳ. RVM

book 940a φέρε ... ὑμῶν] δίμετρον. ERs

book 940b ἀντὶ τοῦ “ἄγε δή”. R

book 941 τούτῳ δώσω] μονόμετρον. ERs

book 942-947 sexies δίμετρον. ERs

book 942 κᾆτ’ ἐκ τούτων ὧν ἂν λέξῃ M: ἐκ τῶν αὐτοῦ, REMbis ἐκ τῶν ἰδίων. Mbis

book 943 καινοῖς: ἀντὶ τοῦ “μικροῖς”. R

book 944 κατατοξεύσω] νικήσω, ὑπερβαλῶ. ἐκ μεταφορᾶς τῶν τόξων. 〈V〉 EM

book 947a alpha ὥσπερ EM ὑπ’ ἀνθρήνων: οὕτως οἱ ποιηταὶ τὰς μελίσσας συνεχῶς REM λέγουσιν. R

book 947a beta εἶδος σφηκὸς ἡ ἀνθρήνη. καταχρῶνται δὲ οἱ ποιηταὶ καὶ ἐπὶ μελίττης συνεχῶς. V

book 947a ὁ δὲ Ἀριστοτέλης συγγενῆ τῇ μελίσσῃ τὴν ἀνθρήνην φησίν. RVEM

book 947b ὑπ’ ἀνθρήνων N: κοινοτέρως ἐπὶ τῶν μελισσῶν τὰς ἀνθρήνας λέγουσιν, EM ἔστι δὲ εἶδος μελίσσης ὅμοιον σφηκί. ENM

book 949a νῦν δείξετον: ἐν ἐπεκθέσει περίοδος τοῦ χοροῦ ἔχουσα μὲν ἀντίστροφον, EMRsNp ἐν διεχείᾳ δέ, διαφόρως κεκωλισμένην· θήσω δὲ ὡς φέρονται νῦν. ἡ μὲν προτέρα “νῦν δείξετον τὼ πισύνω”, ἡ δὲ δευτέρα “ὦ καλλίπυργον σοφίαν” ἕως τοῦ “εὐδοκίμηκεν 〈ἀνήρ〉”. ERsNp

book 949b νῦν δείξετον Rs: τῆς στροφῆς ταύτης μέχρι τοῦ “ἀγὼν μέγιστος” ἀντίστροφός ἐστι τὸ “ὦ καλλίπυργον” μέχρι τοῦ “εὐδοκίμησεν ἀνήρ”. ERs

book 949c ἰστέον, ὅτι ἡ ᾠδὴ τῇ ἀντῳδῇ τῶν ἴσων κώλων ἐστίν, τὰ δὲ κῶλα πῇ μὲν ἔοικεν ἀλλήλοις, πῇ δ’ ἐνήλλακται. Rs

book 949d στροφή. Rs

book 949e τὼ πισύνω] οἱ πίσυνοι, RRs οἱ θαρροῦντες. VRs

book 956 ἀνεῖται Mpr.: καταλέλειπται, Malt. δέδοται, κεῖται, ἥπλωται, EMbis κινεῖται. EMpr.

book 957 τοῖς ἐμοῖς φίλοις] τοῖς φιλοσόφοις. E

book 959a

ἀναπαιστικοὶ τετράμετροι καταληκτικοί· εἰώθασι γὰρ μετὰ τὸ ᾆσαι ἐπάγειν δίστιχον, ὡς καὶ ἐνταῦθα. συναριθμοῦνται δὲ οἱ β′ στίχοι οὗτοι μετὰ τῶν ἑτέρων. Rs

book 959b πρὸς τὸν δίκαιον λόγον. RVE

book 959c στεφανώσας] ἀντὶ τοῦ R “κοσμήσας”. RVE

book 960 〈ῥῆξον φωνὴν: διάτορον εἰπέ.〉 Su. IV 291, 23

book 961a alpha λέξω τοίνυν τὴν ἀρχαίαν E: στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ μθ′. τοῦτο δὲ τὸ μέτρον ἀριστοφάνειον καλεῖται, ἐπεὶ ἐν τούτῳ αὐτὸς εὐδοκίμησεν. EN

book 961a beta ἐντεῦθεν τετράμετρα ἀναπαιστικὰ καταληκτικά, ἃ καλεῖται καὶ ἀριστοφάνεια, ὅτι τούτοις αὐτὸς εὐδοκίμησεν. Rs

book 961b 961] τοὺς παρόντας στίχους λέγουσιν εἶναι ἀναπαίστους. Rs

book 962 ὅτ’ ἐγὼ τὰ δίκαια λέγων ἤνθουν καὶ σωφροσύνη νενόμιστο E: ταῦτα ἄγαν Ἀριστοφάνης ἀπεδέχετο ὡς εὖ πεποιημένα. VE

book 963 πρῶτον μὲν ἔδει φωνὴν παιδὸς M: πρῶτον γὰρ ἐν εὐταξίᾳ ἡ σιωπή. EM

book 964a εἶτα] ἀπὸ κοινοῦ τὸ “ἔδει”. VEMbis

book 964b εἰς κιθαριστοῦ: οὕτως Ἀττικοί. EM

book 964c alpha ἐσπούδαζον γὰρ περὶ τὴν κιθάραν VE οἱ Ἀθηναῖοι τότε E μανθάνειν VE μὴ φροντίζοντες τοῦ καλύπτεσθαι. E

book 964c beta ἐσπούδαζον οἱ Ἀθηναῖοι περὶ κιθαρῳδίαν. E

book 965a τοὺς κωμήτας ENM γυμνοὺς EM: τὸ χ, ὅτι κωμήτας VEN τοὺς ἐκ τοῦ αὐτοῦ ἀμφόδου καὶ τόπου ἔλεγεν. VENM

book 965b κωμῆται ἢ ἀπὸ τῆς αὐτῆς κώμης, ὅτι τὸ παλαιὸν κατὰ κώμας ᾤκουν Ἀθηναῖοι· ἢ ἀπὸ τῆς αὐτῆς ἀμφόδου. E

book 965c κεἰ κριμνώδη κατανίφοι R: κρίμνα εἶδος ἀλεύρου, ἐξ οὗ ἡ παιπάλη γίνεται, τουτέστι τὸ 〈λευκὸν〉 ἄλευρον· καὶ τὸ λευκαίνειν παλύνειν Ὅμηρος ὅτε πέρ τε χιὼν ἐπάλυνεν ἀρούρας. RV

book 965d κεἰ E κριμνώδη κατανίφοι: ἀντὶ τοῦ “παχεῖαν σύστασιν ἔχοντα”. παρὰ τοὺς κρίμνους· οὗτοι δὲ παχύτεροι τῶν ἀλεύρων. ENNp κρῖμνος γὰρ εἶδος ἀλεύρου. ENp

book 965e ἀντὶ τοῦ V “μεγάλα”. VE

book 966a τὼ μηρὼ ENRs μὴ ξυνέχοντας EN: ἀντὶ τοῦ “ἀνειμένοις ἑστῶτας” πρὸς τὸ μὴ θλίβειν τὸ μόριον. ENMRs ἐκθλίβονται τὰ αἰδοῖα ἐκ τοῦ συνέχειν τοὺς μηρούς. ENM

book 966b τὼ μηρὼ μὴ ξυνέχοντας: ἀντὶ τοῦ “μὴ σφίγγοντας, οἷον ἀνειμένως διάγοντας, καὶ μὴ ἐκθλίβοντας τὰ αἰδοῖα ἐκ τοῦ συνέχειν τοὺς μηρούς”. V

book 967a alpha ἢ EM Παλλάδα EMNp περσέπτολιν ἤ τηλέπορόν τι βόαμα E: ἀμφοτέρων. τὸ μὲν οὖν πρότερον Λαμπροκλέους εἶναί φασι τοῦ ἀθλητοῦ, Μίδωνος υἱοῦ· ἔχει δὲ οὕτως Παλλάδα περσέπτολιν κλῄζω EM πολεμοδόκον ἁγνάν, παῖδα Διὸς μεγάλου δαμάσιππον. τὸ δὲ “τηλέπορόν τι βόαμα” μὴ εὑρίσκεσθαι, ὅτου ποτ’ ἐστίν· ἐν γὰρ ἀποσπάσματι εὑρεῖν Ἀριστοφάνη ἐν τῇ βιβλιοθήκῃ. τινὲς δέ φασιν αὐτὸ Κυδίδου Ἑρμιονέως ENp τηλέπορόν τι βόαμα λύρας. E

book 967a beta ἢ τηλέπορόν τι βόαμα: καὶ τοῦτο μέλους ἀρχή. φασὶ δὲ μὴ εὑρίσκεσθαι, ὅτου ποτέ ἐστιν· ἐν γὰρ ἀποσπάσματι ἐν τῇ βιβλιοθήκῃ εὑρεῖν Ἀριστοφάνη. τινὲς δέ φασι Κυδίδου τινὸς Ἑρμιονέως τηλέπορόν τι βόαμα λύρας. RV

book 967b alpha

Eulogikon public reading copy · View original HTML at eulogikon.org

〈…〉 οὕτως Ἐρατοσθένης. Φρύνιχος δὲ αὐτοῦ τούτου τοῦ ᾄσματος μέμνηται ὡς Λαμπροκλέους ὄντος τοῦ Μίδωνος υἱοῦ ἢ μαθητοῦ. ἔχει δὲ οὕτως Παλλάδα περσέπτολιν δεινὰν θεὸν ἐγρεκύδοιμον. E Χαμαιλέων δ’ ἀπορεῖ, πότερον [...] κλῄζω πολεμοδόκον ἁγνάν, παῖδα Διὸς μεγάλου δαμάσιππον ENp ἢ κατὰ Λαμπροκλέα [...] ὑποτίθησι κατὰ λέξιν. E τὸ δὲ “τηλέπορόν τι βόαμα” Κυδίδου τοῦ Ἑρμιονέως κιθαρῳδοῦ ἀπό τινος τῶν ᾀσμάτων τηλέπορόν τι βόαμα λύρας.

book 967b alpha ENp

book 967b beta ἢ Παλλάδα R: ἀρχὴ ᾄσματος Στησιχόρου, ὡς Ἐρατοσθένης RV φησίν. R Φρύνιχος δὲ αὐτοῦ τούτου τοῦ ᾄσματος μνημονεύει ὡς Λαμπροκλέους ὄντος Παλλάδα περσέπτολιν κληΐζω πολεμαδόκον ἁγνάν, παῖδα Διὸς μεγάλου. RV

book 967c ἢ Παλλάδα] τοῦτο τοῦ Λαμπροκλέους. ERs

book 967d τηλέπορόν VE: ὀρθόν VEbis τι καὶ V ὑψηλόν. VEbis

book 968 ἐντειναμένους τὴν ἁρμονίαν E: τὴν κιθάραν Ebis ὡς συντόνου οὔσης τῆς παλαιᾶς ἁρμονίας. E

book 969a βωμολοχεύσαιτ’ EM: ἀγοραῖόν τι εἴποι ἢ εὐτελές. VEbisM

book 969b βωμολοχεύσαιτ’: ἀπὸ μεταφορᾶς τῶν ἐν τοῖς βωμοῖς λοχώντων ἤτοι καθημένων, ὡς ἐκεῖθεν ἁρπάζοιέν τι, καὶ φλυαρούντων πολλά. ERs

book 969c εἰ κακοηθεύσαιτο. EM

book 969d ἢ κάμψειέν τινα καμπήν VE: ἀντὶ τοῦ “κεκλασμένῃ τῇ φωνῇ τὴν ᾠδὴν προενέγκοιτο”. RVEM

book 971a alpha τὰς κατὰ Φρῦνιν E: ὁ Φρῦνις κιθαρῳδὸς μιτυληναῖος. οὗτος δὲ δοκεῖ πρῶτος παρ’ Ἀθηναίοις κιθαρῳδικῇ νικῆσαι Παναθήναια E- MA ἐπὶ Καλλίου ἄρχοντος. EA ἦν δὲ Ἀριστοκλείτου μαθητής. ὁ δὲ Ἀριστόκλειτος τὸ γένος ἦν ἀπὸ Τερπάνδρου, ἤκμασε δὲ ἐν τῇ Ἑλλάδι κατὰ τὰ Μηδικά. παραλαβὼν δὲ τὸν Φρῦνιν αὐλῳδοῦντα κιθαρίζειν ἐδίδαξεν. ὁ δὲ Ἴστρος Ἱέρωνος αὐτόν φησι μάγειρον ὄντα σὺν ἄλλοις δοθῆναι τῷ Ἀριστοκλείτῳ. ταῦτα δὲ σχεδιάσαι ἔοικεν· εἰ γὰρ ἦν γεγονὼς δοῦλος καὶ

book 971a alpha μάγειρος Ἱέρωνος, οὐκ ἂν ἀπέκρυψαν οἱ κωμικοὶ πολλάκις αὐτοῦ μεμνημένοι ἐφ’ οἷς ἐκαινούργησε κλάσας τὴν ᾠδὴν παρὰ τὸ ἀρχαῖον ἔθος, ὡς Ἀριστοφάνης φησὶ καὶ Ἀριστοκράτης. E

book 971a beta οἷας οἱ νῦν τὰς κατὰ Φρῦνιν R: ὁ Φρῦνις κιθαρῳδὸς μιτυληναῖος. οὗτος δὲ δοκεῖ πρῶτος κιθαρίσαι παρ’ Ἀθηναίοις καὶ νικῆσαι Παναθήναια ἐπὶ Καλλίου ἄρχοντος. ἦν δὲ Ἀριστοκλείδου μαθητής. ὁ δὲ Ἀριστοκλείδης κιθαρῳδὸς ἦν ἄριστος. RV

book 971b καθὸ πρῶτος τὴν ἁρμονίαν ἔκλασεν ἐπὶ τὸ μαλθακώτερον. ἦν δὲ γύννις καὶ ψυχρός. E

book 971c Φρύνιν] ὄνομα κιθαριστοῦ. E

book 971d τὰς δυσκολοκάμπτους] 〈τὰς κεκλασμένας.〉 Su. II 150, 30 τὰς δυσκόλως καμπτομένας. ERs

book 972a οἷον καταισχύνων τῷ μαλθακῷ τῆς φωνῆς. E

book 972b τὰς Μούσας] τὴν μουσικὴν εὐτεχνίαν. EM

book 973a ἐν παιδοτρίβου δὲ καθίζοντας R: εἰς τὸν τόπον ὅπου διατρίβουσι καὶ γυμνάζονται οἱ παῖδες. RVE

book 973b τὸν μηρὸν ἔδει προβαλέσθαι E: τουτέστιν εὐκόσμως καθεσθῆναι, ὡς μηδὲν τοῖς περιεστῶσιν ὑποδεῖξαι ἄκοσμον. RVEN

book 973c προβαλέσθαι Rs: ἀντὶ τοῦ “πρόβλημα θεῖναι τὸν μηρόν”, ὡς ἂν μὴ τὰ τοῦ παιδὸς μόρια φαίνηται. ERs

book 974a

ἀπηνές: νῦν ERs τὸ αἰσχρόν, τὸ ἄπο αἴνου. ERsbis

book 974b ἀπηνές] ἄκοσμον. E

book 975a συμψῆσαι ENRsNp καὶ προνοῆσαι: ἀντὶ τοῦ ENNp “συγχέαι τὴν κόνιν, ὡς μὴ σημεῖον ἢ τύπον ἀπολείπεσθαι ταῖς καθέδραις”. ENRsNp ἐν γὰρ ψάμμῳ λεπτοτάτῃ καθήμενοι ἐγυμνάζοντο. ENRsNpbis

book 975b κατέψων τὸν τόπον ὅπου ἐκαθέζοντο, ἵνα μὴ σημεῖον τῆς ἥβης αὐτῶν καταλείψειαν τοῖς ἐρασταῖς. RVENMNp

book 978a ὥσπερ μήλοισιν] τοῦτο παρὰ τὴν ἄλλην ὀπώραν χνοῦν ποιεῖ ἐν τῷ κοίλῳ. E

book 978b μήλοισιν: μήλοις. Rs τοῖς κυδωνίοις, EMRs ὅταν ἀθιγῆ ὦσιν ἔτι. ERs

book 979a μαλακὴν] θηλυπρεπῆ. E

book 979b φυρασάμενος] ἐπιτηδευσάμενος. E

book 980 προαγωγεύων] μαυλίζων. RVE προαγωγὸς γὰρ ἡ μαυλίστρια. VERs

book 981a δειπνοῦντ’ Rs: ἤτοι συνδειπνοῦντα τοῖς γέρουσιν. ERs

book 981b κεφάλαιον EN: τὸ πρὸς τοῖς φύλλοις καυλῶδες. VENNp

book 981c κεφάλαιον: τὸ μετὰ τῶν φύλλων τμῆμα τῆς ῥαφανῖδος. ERs

book 981d φησὶ τὴν κεφαλήν. RVbisE

book 981e οὐκ ἔτεμνον κατὰ μῆκος, ὡς νῦν, ἀλλὰ κατὰ κύκλον. RVEN

book 981f alpha κεφάλαιον τῆς ῥαφανίδος: ὡς θερμὸν καὶ διεγεῖρον πρὸς ἀφροδίσια παρητοῦντο τοῦτο ENNp

book 981f beta οὐκ ἤσθιον τοῦτο οἱ νέοι διὰ τὸ θερμὸν καὶ κινητικὸν εἶναι πρὸς ἀφροδίσια. ERs

book 981g κεφάλαιον] ὃ λέγουσι κῆπον. M

book 983a ὀψοφαγεῖν Rs: τὸ τρυφᾶν EMRs τραπέζαις. M

book 983b alpha οὐδὲ κιχλίζειν: ἀντὶ τοῦ “λιπαρὰς ὄρτυγας τρώγειν, κίχλας ἐσθίειν”. ἢ E ἀτάκτως γελᾶν. EM

book 983b beta κιχλίζειν RRs: λιπαροὺς ὄρτυγας ἐσθίειν ἤγουν κίχλας. ἄλλοι δὲ RV τὸ VRs ἀτάκτως γελᾶν RVRs

book 984a διιπολιώδη R: τὰ λεγόμενα Διάσια, ταῦτα καὶ Διιπόλεια. οὕτως δὲ ἐλέγετο ἃ τῷ πολιεῖ Διὶ ἐθύετο. RV

book 984b τὰ Διιπόλεια τῶν ἀρχαίων ἑορτῶν, ἃ καὶ Διάσιά φασιν. ENp

book 984c Διιπόλεια ἑορτὴ τοῦ Διὸς EMatrRs ἀρχαία. ERs

book 984d τεττίγων R: τοὺς τέττιγας παρέλαβεν, ἐπειδὴ οἱ παλαιοὶ κατὰ τὴν ἀναπλοκὴν τῶν τριχῶν χρυσῷ ἐχρῶντο τέττιγι· τεκμήριον ὅτι αὐτόχθονες ἦσαν RVENp οἱ Ἀθηναῖοι, ὡς καὶ οἱ τέττιγες. VENp

book 984e τεττίγων V: ἀρχαῖον τὸ τοὺς τέττιγας ἀναπλέκειν, ἤγουν τοὺς κρωβύλους. VENp

book 984f τεττίγων ἀνάμεστα N: οἱ τέττιγες αὐτόχθονες καὶ γῆς παῖδες. τὸ παλαιὸν δὲ Ἀθηναῖοι τῶν εὐγενῶν παίδων τὰς κόμας ἀνέπλεκον ἐπιτιθέντες τοὺς τέττιγας δεικνύντες ὅτι καὶ αὐτοὶ αὐτόχθονές εἰσιν. ENRs

book 985a alpha καὶ Κηκείδου E: ἀρχαῖος διθυραμβοποιός, οὗ μέμνηται Κρατῖνος EARsNp ἐν Πανόπταις. ERsNp

book 985a beta Κηκείδης διθυράμβων ποιητὴς πάνυ ἀρχαῖος. μέμνηται δὲ αὐτοῦ Κρατῖνος RV Πανόπταις. R

book 985b ἑορτὴ ἔτι παρὰ Ἀθηναίοις ἐπιτελουμένη τῇ Ἀθηνᾷ. V

book 985c καὶ Βουφονίων E: ἑορτὴ Ἀθηναίων πάνυ ἀρχαία. ἐν γὰρ τοῖς Διιπολείοις φασὶ βοῦν τὸ πόπανον καταφαγεῖν τὸ παρεσκευασμένον πρὸς τὴν θυσίαν, RVE Βαύλωνα δέ τινα ὡς εἶχε τῷ πελέκει

ἀποκτεῖναι τὸν βοῦν, καθὰ καὶ Ἀνδροτίων μέμνηται διὰ τῆς τετάρτης. E καὶ τούτου χάριν βοῦν θύουσιν RV ἐν τοῖς Διιπολείοις, διὰ τὸν βοῦν τὸν φαγόντα τὸ πόπανον, καὶ τυθέντα διὰ τοῦ ποπάνου. R

book 985d Βουφόνια ENRsNp παλαιὰ ἑορτή, ἥν φασιν ἄγεσθαι μετὰ τὰ μυστήρια, ὅτε ENARsNp καὶ βοῦν θύουσιν εἰς ὑπόμνησιν τοῦ πρώτου φονευθέντος βοὸς ἐν ἀκροπόλει ἁψαμένου τοῦ πελανοῦ ἐν τῇ ἑορτῇ τῶν Διονυσίων. ENARs

book 985e ταῦτ' ἐστὶν ἐκεῖνα] ἀντὶ τοῦ "ταῦτα ἃ λέγω ἐκεῖνά ἐστιν". E

book 986 μαραθωνομάχους Rs: Ἀθηναῖοι ἐν Μαραθῶνι ἐνακισχίλιοι ὄντες συμμαχησάντων αὐτοῖς καὶ Πλαταιέων χιλίων τριακοσίας χιλιάδας ἐτρέψαντο Περσῶν. ERs

book 987a εὐθὺς M: ἐν ἀρχῇ. EM

book 987b ἐντετυλίχθαι] τὸ ἐναντίον γυμνοῦσθαι, ἐκκεκαλύφθαι. EM

book 988a ὅταν ὀρχεῖσθαι E: ὠρχοῦντο γὰρ ἐν ὅπλοις ἐν τοῖς Παναθηναίοις οἱ παῖδες. RVEMA διὰ δὲ τὸ ἀπρεπές φησι "προέχοντες τῶν αἰδοίων τὴν ἀσπίδα" RVEM ὡς αὐτῶν τούτου 〈ἕνεκα〉 ἐν τῇ πομπῇ ἀσπιδηφορούντων, διὰ τὸ ἐπικαλύπτεσθαι τὴν αἰσχύνην. VE ηὔξησε δὲ τὴν διαβολὴν εἰπὼν "τὴν ἀσπίδα τῆς θεοῦ". E

book 988b ὅταν ... δέον] ὅταν χρεία ᾖ. RE

book 989a κωλῆς: νῦν τοῦ ERs μακροῦ αἰδοίου. EMRs

book 989b αὕτη ἡ σύνταξις ἀττική. Matr

book 989c τὸ ἑξῆς "τὴν ἀσπίδα τῆς Τριτογενείης". VE

book 989d Τριτογενείας: τῆς ἐπὶ τῇ Ἀθηνᾷ πυρρίχης ὀρχήσεως. ERs

book 991 κἀπιστήσει μισεῖν ἀγοράν] ἀντὶ τοῦ R "μαθήσῃ RE μισεῖν R τὴν ἐκκλησίαν". RERs

book 992 φλέγεσθαι] ἐρυθριᾶν. VM

book 993a τῶν θάκων] ἀττικῶς ἀντὶ τοῦ "ἀπὸ τῶν θάκων". VE

book 993b τοὺς πρεσβυτέρους προτιμᾶν. V

book 994a ἀπαίδευτα ποιεῖν εἰς τοὺς σαυτοῦ γονέας. RV

book 994b καὶ μὴ παρὰ τοὺς σαυτοῦ γονέας: ἀντὶ τοῦ "μὴ παρὰ γνώμην τῶν σῶν γονέων". EM

book 994c σκαιουργεῖν] κακουργεῖν. V

book 994d κακουργεῖν M: κακοποιεῖν. EM

book 995a ὅ τι τῆς αἰδοῦς E: ὅπερ μέλλει τῆς αἰδοῦς τὰ ἀγάλματα πληρώσειν. VE

book 995b ὅπερ μέλλει μολύνειν τὴν αἰδῶ. E

book 995c ὅτι σεαυτὸν ὥσπερ ἄγαλμα καὶ στήλην τῆς αἰδοῦς καὶ κοσμιότητος ἀναστήσεις. ERs

book 995d ἀναπλήσειν: ἀντὶ τοῦ V "ἀφανίσειν". RVM

book 995e ἀναπλήσειν] ἀναπληρώσειν. EMRs

book 996a εἰσιέναι] ἀντὶ τοῦ "εἰσελθεῖν". E

book 996b 〈εἰσᾴττειν] τουτέστιν εἰσπηδῆσαι.〉 Su. I 442, 1

book 997a μήλῳ RENM βληθεὶς EM: ἀντὶ τοῦ RVENM "ἔρωτι RbisVE NMbisRs βληθείς". ENM

book 997b οὕτως ἔλεγον οἱ παλαιοὶ τὸ πτοῆσαι καὶ εἰς ἔρωτα ἀγαγεῖν, μήλῳ βάλλειν. RV

book 997c μηλοβολεῖν ἔλεγον τὸ εἰς ἀφροδίσια δελεάζειν, ἐπεὶ τὸ μῆλον Ἀφροδίτης ἐστὶν ἱερόν. ENM

book 997d ἀποθραυσθῇς: ἀντὶ τοῦ V "ἐκπέσῃς". RVEMRs

book 998 μηδ' Ἰαπετὸν καλέσαντα M: λῆρον, μωρόν. RVEM Ἰαπετὸς δὲ εἷς τῶν Γιγάντων. VEM

book 999a μνησικακῆσαι τὴν ἡλικίαν] ἐπὶ κακῷ μνησθῆναι τῆς ἡλικίας. ERs

book 999b τὴν ἡλικίαν VE: τοῦ πατρὸς RVE δηλονότι. V

book 999c ἐνεοτ〈τοτ〉ροφήθης: ἀντὶ τοῦ V “ἐτράφης”. VE

book 1001a alpha τοῖς Ἱπποκράτους R: ὑώδεις τινὲς καὶ ἀπαίδευτοι κωμῳδοῦνται. RV καὶ τάχα ἂν εἴησαν προκέφαλοί τινες, ὡς ἐν Γεωργοῖς καὶ ἐν Τριφάλητι. καὶ Εὔπολις ἐν Δήμοις εἰς Ἱπποκράτους τε πόδας ἐκβόλιμοί τινες βλιχητὰ τέκνα· καὶ οὐδαμῶς τοῦ τρόπου. V τὰ δὲ ὀνόματα αὐτῶν Τελέσιππος, Δημοφῶν, Περικλῆς. RV

book 1001a beta τοῖς EM Ἱπποκράτους υἱέσιν ENM εἴξεις M: οὗτοί εἰσι Τελέσιππος, Δημοφῶν καὶ Περικλῆς, διαβαλλόμενοι εἰς ὑωδίαν. ENM καὶ Εὔπολις ἐν Δήμοις Ἱπποκράτους τε παῖδες ἐμβόλιμοί τινες· βρυχητὰ τέκνα· καὶ οὐδαμῶς τοῦ τρόπου. E

book 1001a gamma Ἱπποκράτει τινὶ Ἀθηναίῳ τρεῖς ἦσαν υἱοὶ συώδεις καὶ ἀνόητοι. καὶ Εὔπολις ἐν Δήμοις Ἱπποκράτους παῖδες ἐμβόλιμοί τινες βληχητὰ τέκνα· καὶ οὐδαμῶς τοῦ τρόπου. E

book 1001b βλιτομάμμαν VNM: ἀντὶ τοῦ V “μωρόν”. VEMbisARs τὸ γὰρ βλίτον μωρὸν εἶναι δοκεῖ λάχανον. VENM

book 1001c βλιτομάμαν: ἤτοι ἀνόητον. ἀπὸ τοῦ βλίτου, λαχάνου εὐτελοῦς, καὶ τοῦ E μαμᾶν, ὃ δηλοῖ τὸν ἄρτον. EN

book 1003a οὐ στωμύλλων: καὶ οὐ M φλυαρῶν. RMbis

book 1003b τριβολεκτράπελ’ ENM: ἐκ τοῦ τρίβειν καὶ ἐκτράπελος σύγκειται. RVENMRs ἀντὶ τοῦ “σκληρὰ καὶ ἀπαίδευτα. RVENMbisRs καὶ ἀπόβλητα RVENRs καὶ ἀνώμαλα”. ENRs

book 1003c τριβολεκτράπελ’] δίκην τριβόλων κεντοῦντα, πικρά· καὶ ἐκτράπελα, ἄσεμνα ἤτοι ἔξω τοῦ δέοντος τετραμμένα. E

book 1004a alpha γλισχραντιλογεξεπιτρίπτου: ἐκ τοῦ γλίσχρου καὶ ἀντιλογίας πεποιημένου τοῦ καὶ δυναμένου ἐπιτρῖψαι. ENM

book 1004a beta γλισχραντίλογ’ R: ἐκ τοῦ γλίσχρου καὶ ἀντιλογίαν ἔχοντος καὶ ἐπιτρίπτου σύγκειται· οἷον τοῦ δυναμένου ἐπιτρῖψαι. RV

book 1004b γλισχραντιλογεξεπιτρίπτου] γλίσχρου ENM καὶ φειδωλοῦ EN καὶ ἀντιλογίαν ἐπίτριπτον ENM καὶ ἀξίαν ὀλέθρου EN ἔχοντος. ENM

book 1005a ἀλλ’ εἰς Ἀκαδημίαν EM: ἐνταῦθα γὰρ διέτριβον οἱ φιλόσοφοι. ἦν δὲ γυμνάσιον VEM καλούμενον ἀπὸ Ἀκαδήμου τινὸς EM καταλείψαντος τὴν κτῆσιν αὐτοῦ πρὸς ἐπισκευὴν τοῦ τόπου. περὶ αὐτὸν δὲ ἦσαν αἱ ὄντως ἱεραὶ ἐλαῖαι τῆς θεοῦ, αἳ καλοῦνται μορίαι· E ἐξ ὧν τὸ ἔλαιον τῶν Παναθηναίων. EN

book 1005b alpha ὑπὸ ταῖς μοριαῖς EN: μοριαὶ 〈αἱ〉 ἱεραὶ ἐλαῖαι τῆς θεοῦ ἐν τῇ ἀκροπόλει ἐκαλοῦντο. ENNp

book 1005b beta ὑπὸ ταῖς μορίαις R: μοριὰ κυρίως λέγεται ἡ ἱερὰ ἐλαία τῆς θεοῦ. RV

book 1005b λέγουσι γὰρ ὅτι Ἁλιρρόθιος, ὁ παῖς Ποσειδῶνος, ἐκκόψαι ἠθέλησεν αὐτάς, 〈διότι〉 διὰ τὸ τὴν ἐλαίαν εὑρεθῆναι ἐκρίθη τῆς Ἀθηνᾶς ἡ πόλις, καὶ ἀποτυχὼν ἔπληξεν ἑαυτὸν καὶ ἀπέθανεν. καὶ διὰ τοῦτο μοριαὶ 〈αἱ〉 ἐλαῖαι ἐκλήθησαν. ENp ἢ διὰ τὸ πάντα ἄνθρωπον κεκτημένον ἐλαίας ἀναγκάζεσθαι μέρος τι παρέχειν εἰς τὰ Παναθήναια· κέραμον γὰρ ἐλαίου ἐλάμβανον οἱ νικῶντες. E

book 1005c ἐπεφύτευτο ἐν τῷ γυμνασίῳ δένδρα. RVE ἔθος δὲ ἦν τοῖς ἀσκουμένοις ἀλειψαμένοις ἐν τῷ ἡλίῳ τρέχειν. RVEM

book 1005d 1005] Ἀκαδημία γυμνάσιον Ἀθήνησιν, ἔνθα καὶ ἱεραὶ ἦσαν ἐλαῖαι, μορίαι καλούμεναι διὰ τὸ ἐκεῖ γεγονέναι τὸν Ἁλιρροθίου μόρον· ἐξ ὧν ἦν τῶν Παναθηναίων τὸ ἔλαιον. E

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1006a στεφανωσάμενος RE καλάμῳ EM λευκῷ M: λιτὸς γὰρ καὶ ἀπερίεργος ὁ τοιοῦτος στέφανος. ἦν δὲ τοῦτο Διοσκούρων ἴδιον στεφανοῦσθαι τῷ καλάμῳ. RVEM

book 1006b τὸν στέφανον τοῦ καλάμου προέκριναν ὡς ἁπλούστερον ὄντα καὶ ἀπερίεργον· ἢ ὅτι αὐτῷ στέφονται οἱ Διὸς κοῦροι. EN

book 1006c ἡλικιώτου: ἀντὶ τοῦ V "συμπράκτορος". VE

book 1007a μίλακος ὄζων ENM: σμίλαξ M εἶδος βοτάνης. VEbisN

book 1007b παρέμιξε τὸ "ἀπραγμοσύνης". EM

book 1007c ἀπραγμοσύνη φυτόν, EM ὡς Ἀριστοφάνης ὁ γραμματικός, ἐν Ἀκαδημίᾳ φυόμενον. E

book 1007d μίλακος ὄζων καὶ ἀπραγμοσύνης R: ἀπραγμοσύνη εἶδος ἄνθους. οἷον πάσης εὐωδίας ὄζων καὶ ἀσφαλείας. ἢ "ἀπραγμοσύνης" ἀντὶ τοῦ "οὐ πολυπραγμοσύνης". RVE

book 1007e ἀπραγμοσύνης] εἶδος βοτάνης. E

book 1007f ἡ λεύκη ὁμοία πλατάνῳ. Ebis

book 1008 ψιθυρίζῃ E: ἀνέμου πνέοντος μαλακοῦ καὶ ἠρέμα διὰ τῶν φύλλων εἰσιόντος ὥσπερ προσλαλεῖ τὰ δένδρα· ὅπερ ψιθυρίζειν λέγεται. καὶ Θεόκριτος ἁδύ τι τὸ ψιθύρισμα RVE 〈καὶ ἁ πίτυς αἰπόλε τήνα〉. Su.

book 1009 ἢν ταῦτα ποιῇς Rs: διπλῆ· ὑφ᾽ ἓν ENRs περίοδος τοῦ ὑποκριτοῦ ἀναπαιστικὴ τριακοντάμετρος ἑκκαίδεκα κώλων, ENRsNp ὅτι ἔχει δύο μονόμετρα, τό τε τέταρτον καὶ τὸ ὄγδοον. τὸ δὲ τελευταῖον καταπυγοσύνης ἀναπλήσει. ERsNp

book 1010 τούτοις] οἷς λέγω. RE

book 1012 χροιὰν λαμπρὰν] τὸ τέταρτον E μονόμετρον. ERs

book 1013a alpha γλῶτταν βαιάν: οἵαν μὴ φλυαρεῖν. ENp

book 1013a beta μικράν, ὥστε μὴ φλυαρεῖν. VE

book 1013b πυγὴν VENp μεγάλην ENp: ἢ γέλωτος χάριν RVEbisANp ἢ "διὰ τὴν τροφὴν ἕξεις πυγὴν μεγάλην". RVEA

book 1014a πόσθην VENp: τὸ μόριον VEMANp τοῦ ἀνδρός. EANp

book 1014b σωφροσύνης σύμβολον. VENp

book 1014c οἱ νῦν] αἰνίττεται εἰς τοὺς Ἀθηναίους. EA

book 1015 ἕξεις] διὰ τὴν ἀταξίαν. EM

book 1016a ὤμους μικρούς M: γράφεται λευκούς, γράφεται καὶ λεπτούς. EM

book 1016b οἷοι οἱ τῶν ἀγυμνάστων καὶ ἀργῶν. VEM

book 1019a ψήφισμα μακρόν ENM: τὸ ἐκ πολυλογίας συγκείμενον. RVENMbis

book 1019b ἀντὶ τοῦ "μεγάλα ψηφίσματα γράψεις." ENM

book 1021 τὸ καλὸν δ᾽ αἰσχρόν] τοῦτο μονόμετρον. M

book 1022a alpha τῆς Ἀντιμάχου EM καταπυγοσύνης E: οὗτος ὡς κίναιδος καὶ εὔμορφος καὶ θηλυμανὴς κωμῳδεῖται. ENM δεύτερος ὁ ἐπὶ πονηρίᾳ κωμῳδούμενος. τρίτος ὁ Ψακάδος λεγόμενος. τέταρτος ὁ τραπεζίτης, οὗ μέμνηται Εὔπολις ἐν Δήμοις. πέμπτος 〈ὁ〉 ἱστοριογράφος· τάχα δὲ ὁ αὐτός ἐστι τῷ εὐμόρφῳ. EM

book 1022a beta τῆς Ἀντιμάχου R: οὗτος εἰς θηλύτητα καὶ εὐμορφίαν κωμῳδεῖται. ἔστι δὲ καὶ ἕτερος ἐπὶ πονηρίᾳ κωμῳδούμενος. RV

book 1022b τῆς ... καταπυγοσύνης] τῆς μαλακίας. VM

book 1024a ἀντιστροφή. Rs

book 1024b πρὸς τὸν δίκαιον ταῦτα. EM

book 1024c καλλίπυργον] ὑψηλοτάτην, μεγάλην. RVERs

book 1030a λέγει πρὸς τὸν ἄδικον. V

book 1030b πρὸς οὖν τάδ’] πρὸς ταῦτα οὖν. RVE

book 1030c ὦ V πανοῦργον RVEMARs ἔχων μοῦσαν. V

book 1033 ἀνήρ] ὁ δίκαιος δηλονότι.

book 1033a ἀνδρείῳ γὰρ σχήματι εἰσῆλθεν. EM

book 1033b ἐν ἀνδρῶν γὰρ σχήματι εἰσήχθησαν. RV

book 1034a ἐντεῦθέν εἰσιν ἰαμβικὰ τετράμετρα καταληκτικὰ μέχρι τοῦ “εὐρύπρωκτος εἶναι”. EN

book 1034b κατὰ τὴν πρώτην ᾠδὴν ἐκεῖ μέν εἰσιν ἀναπαιστικοὶ μθ′, ἐνταῦθα δὲ ἰαμβικοὶ μθ′ μετὰ τὴν ἀντίστροφον· ἀμφότεροι μέντοι τετράμετροι καταληκτικοὶ ἕως τοῦ “ἦν δ’ εὐρύπρωκτος”. Rs

book 1034c δεινῶν] ἀντὶ τοῦ RV “μεγάλων”. RVEM

book 1035 εἴπερ] ἐάνπερ. γράφεται καὶ “οἷσπερ” ἀντὶ τοῦ “δι’ ὧν βουλευμάτων νικήσεις τὸν ἄνδρα καὶ ὑπερβαλεῖς”. Rs

book 1036 ἐπνιγόμην] ὡσεὶ ἔλεγε E διερρηγνύμην. EM

book 1038a alpha ἐγὼ γὰρ ἥττων μὲν λόγος E: ἢ ὅτι ποιῶ αὐτοὺς ἡττηθῆναι, RVEM ἢ ὅτι τὰ ἥττονα λέγω. EM

book 1038a beta ἐπεὶ ποιῶ πάντας ἡττᾶσθαι. EM

book 1038b ἥττων 〈...〉 λόγος R: ἀντὶ τοῦ RV “ἄδικος”. RVE

book 1039 τοῖσι φροντισταῖσιν] τοῖς φιλοσόφοις. RE

book 1041a καὶ τοῦτο πλεῖν ἢ μυρίων E: τὸ τινὰ λαχόντα δίκην τῷ ἀδίκῳ λόγῳ νικᾶν. RVE

book 1041b πλεῖν] πλέον. MRs ἀττικόν. M

book 1041c στατήρων] εἶδος νομίσματος RE ὁ στατήρ. E

book 1043a alpha 1043] πρὸς τὸν παῖδα τοῦτό φησιν. RVENRs

book 1043a beta τοῦτο πρὸς τὸν Φειδιππίδην. Np

book 1043b ὅτι RV ἀπὸ τῶν αὐτοῦ ἐλέγξω αὐτόν. RVE

book 1046 ὁτιὴ κάκιστόν ἐστι: ἑψοῖ γὰρ καὶ χαυνοῖ τὰ σώματα. “δειλότατον” δὲ εἶπεν· ἐκλύει γάρ. E

book 1047a alpha εὐθὺς γάρ ς’ ἔχω μέσον E: τὸ ἑξῆς· λαβών σε ἄφυκτον ἔχω εὐθύς. RVE

book 1047a beta εὐθὺς γάρ σε μέσον λαβὼν: τὸ ἑξῆς εὐθὺς ἄφυκτον ἔχω μέσον λαβών. M

book 1047b εὐθύς: ἀντὶ τοῦ “ἐν ἀρχῇ”. RVEM

book 1047c μέσον λαβὼν RVE: ἡ μεταφορὰ ἀπὸ τῶν παλαιόντων RVEbisM τῶν λαμβανομένων εἰς τὸ μέσον καὶ ἡττωμένων. RVEM

book 1051 ἡράκλεια λουτρά RE: Ἴβυκός φησι τὸν Ἥφαιστον κατὰ δωρεὰν ἀναδοῦναι τῷ Ἡρακλεῖ θερμῶν ὑδάτων λουτρά. ἐξ ὧν τὰ θερμά τινές φασιν ἡράκλεια λέγεσθαι. οἱ δέ φασιν

book 1051a ὅτι τῷ EMANp(Cr) Ἡρακλεῖ πολλὰ μογήσαντι REMANp(Cr) περὶ Θερμοπύλας R ἡ Ἀθηνᾶ θερμὰ λουτρὰ ἐπαφῆκεν· REMANp(Cr) ὡς Πείσανδρος

book 1051b τὴν Ἀθηνᾶν χαρίσασθαι τῷ Ἡρακλεῖ θερμὰ λουτρά· V

book 1051 τῷ δ’ ἐν Θερμοπύλῃσι θεὰ γλαυκῶπις Ἀθήνη ποίει θερμὰ λοετρὰ παρὰ ῥηγμῖνι θαλάσσης. RVEMNp(Cr)

book 1053a ἃ τῶν νεανίσκων ἀεὶ EM δι’ ἡμέρας M: ὡς ταῦτα τῶν ἀγυμνάστων νεανίσκων λαλούντων. RVEM

book 1053b τῶν εὐγενῶν δηλονότι. R 〈V〉 EM

book 1057 ἂν] περισσὸν τὸ “ἄν” ἀττικῶς. RVE

book 1058 ἐντεῦθεν] ἀπὸ τούτου. E

book 1059a χρῆναι] δέον εἶναι. E

book 1059b ἐγὼ δέ φημι] χρῆναι δηλονότι. R

book 1063a ὁ Πηλεὺς Φῶκον τὸν ἀδελφὸν κατὰ πατέρα σὺν Τελαμῶνι δολοφονήσας φεύγει εἰς Φθῖαν πρὸς Εὔρυτον τὸν Ἄκτορος, ὑφ’ οὗ καὶ καθαίρεται. ἐκεῖθεν ἐπὶ τὴν θήραν τοῦ καλυδωνίου κάπρου ἐλθὼν Εὐρύτῳ ἐντυγχάνει καὶ κτείνει τοῦτον ἄκων. πάλιν οὖν ὁ Πηλεὺς ἐκ Φθίας φυγὼν εἰς Ἰωλκὸν πρὸς Ἄκαστον ἀφικνεῖται, καὶ καθαίρεται ὑπ’ αὐτοῦ. Ἀστυδάμεια δέ, ἡ Ἀκάστου γυνή, ἐρασθεῖσα Πηλέως καὶ μὴ πείσασα αὐτὸν διὰ σωφροσύνην συνελθεῖν αὐτῇ καταψεύδεται αὐτοῦ πρὸς Ἄκαστον ὡς ἀποπειραθέντος αὐτῆς. ὁ δὲ κτεῖναι μὲν ὃν καθῆρεν οὐκ ἠβουλήθη,

book 1063a alpha ἄγει δὲ αὐτὸν εἰς θήραν εἰς τὸ Πήλιον. 〈ἀποκοιμηθέντα δὲ αὐτὸν〉 Ἄκαστος καταλιπὼν καὶ τὴν μάχαιραν ὑπὸ τὴν κόπρον τῶν βοῶν κρύψας ἐπανέρχεται. ὁ δὲ ἐξαναστὰς καὶ μὴ εὑρὼν τὴν μάχαιραν ἤμελλεν ἀπόλλυσθαι καταληφθεὶς ὑπὸ τῶν Κενταύρων, σώζεται δὲ ὑπὸ Χείρωνος· ὃς καὶ τὴν μάχαιραν ἐκζητήσας δίδωσιν αὐτῷ. E

book 1063a beta ἐκβάλλει δὲ αὐτὸν εἰς τὸ Πήλιον, ὅπως ὑπὸ θηρῶν βρωθείη. οἱ δὲ θεοὶ διὰ τὴν σωφροσύνην δεδώκασιν αὐτῷ μάχαιραν πρὸς τὸ ἀπαλέξειν τὰ θηρία. RV

book 1063b ὁ οὖν Πηλεὺς ἔλαβε διὰ τοῦτο τὴν μάχαιραν M: ὁ Πηλεὺς ἐγένετο σωφρονέστατος καί ποτε Ἱππολύτης τῆς γυναικὸς Ἀκάστου ἐρασθείσης αὐτοῦ καὶ μὴ δυνηθείσης πεῖσαι, ἀλλὰ διαβολῇ χρησαμένης, ὡς ὅτι ἐπεχείρει βιάσασθαι αὐτήν, ὁ Ἄκαστος μαθών, καὶ λαβὼν αὐτὸν εἰς ἐρημίαν καὶ τῶν ὅπλων γυμνώσας, ἀφῆκεν αὐτὸν καὶ ἀνεχώρησεν ENMNp εἰπών· εἰ δίκαιος εἶ, σωθήσῃ. ὡς δὲ ἔμελλεν ὑπὸ τῶν θηρίων διαφθείρεσθαι, οἱ θεοὶ μάχαιραν αὐτῷ ἐχαρίσαντο ἡφαιστότευκτον δι’ Ἑρμοῦ· καὶ οὕτως ἔφυγε τὸν κίνδυνον. ENNp οἱ δέ φασιν, ὡς Ἄκαστος τὴν Πηλέως μάχαιραν ὑπὸ κόπρον βοῶν ἔκρυψε, Χείρων δὲ ταύτην εὑρὼν δίδωσιν αὐτῷ. E

book 1063c ἐν τοῖς ἐπὶ Πελίᾳ ἄθλοις διὰ τὴν σωφροσύνην ἔλαβεν ἡφαιστότευκτον μάχαιραν ὁ Πηλεύς. V

book 1063d ὁ 〈...〉 Πηλεὺς: ὅτε ἀφῆκεν αὐτὸν Ἄκαστος μεταξὺ θηρίων, οἱ θεοὶ δεδώκασιν αὐτῷ ξίφος πρὸς ἄμυναν τῶν θηρίων. τινὲς δὲ ἐν τῷ ἐπὶ Πελίᾳ ἀγῶνί 〈φασι〉 τὸν Πηλέα λαβεῖν διὰ σωφροσύνην ἡφαιστότευκτον μάχαιραν. E

book 1065a Ὑπέρβολος δ’ οὐκ ἐκ τῶν λύχνων M: ὡς λυχνοπώλης γὰρ κωμῳδεῖται ἐν πολλοῖς. VEM

book 1065b πλεῖν V: πλέον VEM πλεῖν E ὡς δέον δεῖν. V ἡ συναίρεσις ἀττική. VE

book 1068a κᾆτ’ ἀπολιποῦσά ENM γ’ αὐτὸν ᾤχετ’ EM: φασίν, ὅτι τοὺς γενομένους παῖδας ἐκ Πηλέως ἡ Θέτις λαμβάνουσα περιέκαιε τὸ θνητὸν αὐτῶν σῶμα βουλομένη αὐτοὺς ἀθανάτους ποιεῖν· ENMNp καὶ πολλοὺς ἔκαυσε. καὶ τὸν Ἀχιλλέα τεκοῦσα ἐπέθηκεν εἰς τὸ πῦρ· καὶ γνοὺς ὁ Πηλεὺς ἐβόησεν. ἡ δὲ λυπηθεῖσα ἐχωρίσθη. ENNp

book 1068b ὑβριστὴς M: τρυφητής, γαμητής. REMbis

book 1069 οὐδ’ ἡδὺς ἐν τοῖς στρώμασιν M: κατωφερής, γαῦρος πρὸς ἡδονήν. Mbis

book 1070a σιναμωρουμένη RENMNp: ἀντὶ τοῦ “συνεχῶς ἀνδρὶ συνουσιάζουσα RVEbisNMANp πρὸς μίξιν”, RVENMANp τουτέστι γαμουμένη. RV

book 1070b σινάμωρος ἡ μεμορημένη ENM πρὸς αἰδοῖα. M σίνος δὲ τὸ αἰδοῖον· ENMANp ὅθεν καὶ Σιληνός. ENA

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1070c σινάμωρον τὸ πορνικόν. RVEN

book 1070d σιναμωρουμένη] κατωφερής. E

book 1070e κρόνιππος: ἀντὶ τοῦ “ἀρχαῖος”, παρ’ ὅσον ὁ Κρόνος ἀρχαῖος. V

book 1070f alpha κρόνιππος: ὁ μέγας λῆρος κατ’ ἐπίτασιν λαμβανομένου τοῦ ἵππου. EN

book 1070f beta κρόνιππος: ὁ μέγας λῆρος· κατ’ ἐπίτασιν γὰρ τὸ ἵππος λαμβάνεται. M

book 1070g κρόνιππος] σαλός. E

book 1071 ἅπαντα] λείπει τὰ κακά. RVEMbisA

book 1072a λείπει ἐὰν σωφρονῇς. RVE

book 1072b ἀντὶ τοῦ “ὅσων μέλλεις ἀποστερεῖσθαι σωφρονῶν”. M

book 1073a κοττάβων: κότταβος ἐν συμποσίοις παίγνιον. ENM ἦν δὲ τοιοῦτον· ἐτίθεσαν λέβητα, καὶ τὸ λείψανον τοῦ πόματος ἐνέβαλλον, καὶ κτύπον μέγαν ἀπετέλουν ἐν τούτῳ. EM

book 1073b πότων: ἀντὶ τοῦ R “συμποσίων”. RVEM

book 1073c κιχλισμῶν RV: γελώτων RVEMA διαφόρων. RVEM

book 1075a εἶεν M: τοῦτο καλεῖται VEMNp ἀπόθεσις RVEMbisNp λόγου. RVE

book 1075b τὸ “εἶεν” λέγεται R

book 1076 ἥμαρτες, ἠράσθης M: ταῦτα γὰρ τῆς φύσεως. EM

book 1077 ἀδύνατος γὰρ εἶ λέγειν E: οὐ γὰρ δυνατὸς εἶ λόγοις νικῆσαι αὐτοὺς ἐναντίοις. VEM

book 1078a χρῶ τῇ φύσει] κέχρησο σπατάλῃ. E

book 1078b σκίρτα] σπατάλα. R

book 1078c νόμιζε μηδὲν αἰσχρόν] τὸ αἰσχρὸν νόμιζε μὴ εἶναι αἰσχρόν. RVE

book 1081 κἀκεῖνος ὡς ἥττων M: ἀντὶ τοῦ “ἡττᾶται”. REM

book 1083 τί δ’ ENM ἢν ῥαφανιδωθῇ RENM: τοὺς ἁλόντας μοιχοὺς οὕτω ᾐκίζοντο· ῥαφανῖδας λαμβάνοντες καθίεσαν εἰς τοὺς πρωκτοὺς τούτων, καὶ παρατίλλοντες αὐτοὺς τέφραν θερμὴν ἐπέπασσον βασάνους ἱκανὰς ἐργαζόμενοι. RVENMNp

book 1084 ἕξει τίνα συγγνώμην E: ἀντὶ τοῦ “ποίαν ἕξει συγγνώμην τὸ μὴ εὐρύπρωκτος εἶναι;” VE

book 1085 ἀντὶ τοῦ “οὐδέν”. R

book 1086a τοῦ εὐρύπρωκτος γενέσθαι ὑπὸ τοῦ μεγέθους τῶν ῥαφανίδων. M

book 1086b τοῦ εἶναι εὐρύπρωκτος. R

book 1087a ἢν τοῦτο νικηθῇς ἐμοῦ E: λείπει ἡ εἰς, ἵν’ ᾖ εἰς τοῦτο. REM

book 1087b alpha δύο προθέσεων ἔλλειψις· ἀντὶ τοῦ “εἰς τοῦτο νικηθῇς ὑπ’ ἐμοῦ, ὅτι οὐκ ἔστι κακὸν EM τὸ M εὐρύπρωκτον εἶναι”. EM

book 1087b beta ἐὰν εἰς τοῦτο νικηθῇς παρ’ ἐμοῦ, ὅτι οὐδέν ἐστι κακὸν τὸ εὐρύπρωκτος εἶναι, RV τί εἴπῃς; V

book 1088-1104 σιγήσομαι. ERs τί δ’ ἄλλο; E: διπλῆ καὶ ἐν εἰσθέσει μέλος τῶν ὑποκριτῶν EBarb Rs ἀμοιβαῖον τριακαιεικοσίκωλον. μὲν πρῶτα ἰαμβεῖα δύο, δίμετρον ἀκατάληκτον καὶ τὸ β′ πενθημιμερές, τὸ “συνηγοροῦσιν ἐκ τίνων” καὶ τὸ “ἐξ εὐρυπρώκτων”. τὸ δ′ “τί δαί; τραγῳδοῦς’ ἐκ τίνων” 〈καὶ〉 τὸ ε′ “ἐξ εὐρυπρώκτων” 〈ὁμοίως. τὸ γ′ “πείθομαι” καὶ〉 τὸ ς′ “εὖ λέγεις” τρισύλλαβα κατὰ πόδα κρητικόν. τὸ ζ′ “δημαγωγοῦσι” δίμετρον ἰαμβικὸν καταληκτικόν. τὸ η′ πενθημιμερές. τὸ θ′, τὸ “ἆρα δῆτ’”, ἐστὶ ⟦στίχοσ⟧ καθ’ ἑαυτὸ τρισύλλαβον κατὰ πόδα κρητικόν. τὸ ι′ καὶ τὸ ια′ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ιβ′ ἰαμβικὸν μονόμετρον ἀκατάληκτον. τὸ ιγ′ μονόμετρον ἀκατάληκτον ἰαμβικόν. τὸ ιδ′ μονόμετρον ἀκατάληκτον ἰαμβικόν. τὸ ιε′ καὶ τὸ

ιϛʹ καὶ τὸ ιζʹ καὶ τὸ ιηʹ ⟦καὶ τὸ ιθʹ⟧ ἰαμβικὰ δίμετρα ἀκατάληκτα. 〈τὸ ιθʹ μονόμετρον ἀκατάληκτον ἰαμβικόν.〉 τὸ κʹ καὶ τὸ καʹ ἰαμβικὰ δίμετρα ἀκατάληκτα. τὸ κβʹ μονόμετρον. τὸ κγʹ δίμετρον ἰαμβικὸν καταληκτικόν. EBarb

book 1089 συνηγοροῦσιν ἐκ τίνων RM: ἀντὶ τοῦ “τίνες RVENMbis ἢ ἐκ τίνων Mbis εἰσὶν οἱ ῥήτορες;” RVENMbis

book 1090 πείθομαι] τοῦτο κατ’ ἰδίαν. E

book 1091 τί δὲ M τραγῳδοῦς’ ἐκ τίνων RMNp: εἰς Φρύνιχόν φασιν αὐτὸν ἀποτείνειν τὸν τραγικὸν χορευτήν· ἐπειδὴ διεβάλλετο ἐπὶ μαλακίᾳ διὰ ποικιλίαν σχημάτων. RVEMNp

book 1092 εὖ λέγεις] τοῦτο καθ’ ἑαυτό· καὶ ἔστι τρισύλλαβον κατὰ πόδα κρητικόν. E

book 1096 καὶ τῶν θεατῶν R: τῶν σωφρόνων καὶ τῶν εὐρυπρώκτων θεατῶν σκόπει πότεροι πλείους. RV

book 1100 κἀκεινονί] ἀριθμεῖ αὐτούς. EM

book 1101a τοῦτο ἄδηλον, πότερον ὁ κρείττων λόγος RVE φησίν V ὁμολογῶν ἡττᾶσθαι ἢ ὁ νεανίσκος ὁ τῶν λόγων κριτής· ὃ καὶ μᾶλλον αἴτιον τοῖς ἑξῆς. RVE

book 1101b ὁ κρείττων λόγος φαίνεται αὐτῷ συνάχθεσθαι παραδοθέντι μανθάνειν τῷ ἑτέρῳ. RVE

book 1101c ἡττήμεθ’] πρὸς τὸν δίκαιον ὁ Φειδιππίδης. E

book 1102/3alpha δέξασθέ μου θοιμάτιον E: ἵνα ἐξ ἑτοίμου καὶ εὐχερῶς χωρήσῃ πρὸς αὐτούς, καὶ μὴ ἐμποδίζοιτο τῷ δρόμῳ. EN

book 1102/3beta τὸ ἱμάτιον δίδωσιν, ἵνα εὐχερῶς αὐτομολήσῃ πρὸς αὐτούς. RV

book 1105-1112 δίδασκε καὶ κόλαζε E: διπλῇ καὶ ἔκθεσις εἰς ἰάμβους τριμέτρους ἀκαταλήκτους ηʹ. ERs

book 1107 κόλαζε M: ἀντὶ τοῦ “παίδευε”; RVEbisMbis οἱ γὰρ παιδευόμενοι κολάζονται. RVEbisM

book 1108a εὖ μοι στομώσεις R: ἀντὶ τοῦ RV “ὀξυνεῖς”. RVERs ὡς ἐπὶ σιδήρου RVE φησὶ μεταφορικῶς. RV

book 1108b alpha στομώσεις EMNp: ὀξυνεῖς ἢ εὔστομον ποιήσεις. EMbis- Np

book 1108b beta ἀκονήσεις. RV

book 1108b ἡ μεταφορὰ ἀπὸ τῶν μαχαιρῶν. RVEMNp

book 1108c ἐπὶ μὲν E θάτερα RENp: τὸ μὲν ἕτερον μέρος τῆς γνάθου. RVENMNp

book 1109alpha οἵαν δικιδίοις EMNp: τουτέστι δυνατὴν καὶ ἔμπειρον δικῶν. RENMNp ὑποκοριστικῶς δὲ τὸ “δικιδίοις”. RENNp

book 1109beta ἀντὶ τοῦ RVbis “δυνατὴν καὶ R- Vpr. ἔμπειρον εἰς τὸ λέγειν δίκας”. RVbis ὑποκοριστικὸν δὲ τὸ “δικιδίοις”. Valt.

book 1110a 〈στόμωσον: ἀντὶ τοῦ “ὄξυνον”.〉 Su. IV 437, 21

book 1110b οἵαν] δυνατήν. M

book 1110c alpha οἵαν ἐς τὰ μείζω πράγματα: οἷον ἄδικα ἢ φιλόσοφα. M

book 1110c beta εἰς τὰ ἄδικα, εἰς τὰ ἐμφιλόσοφα. V

book 1111a ἀμέλει κομιῇ τοῦτον σοφιστὴν δεξιόν M: τὸ “ἀμέλει” παρέλκει. RVM

book 1111b σοφιστὴν δεξιόν M: οὕτως ἔλεγον RVEM πάντας RV τοὺς πεπαιδευμένους. RVEM

book 1112 μὲν οὖν] ἀπὸ κοινοῦ τὸ RE “κομιεῖ”. REM

book 1113 οἶμαι δέ σοι] πρὸς τὸν πατέρα. E

book 1115a παράβασις. Barb Rs ἐν τῇ παραβάσει οὐ κωμῳδεῖ ὁ χορός. τόπος κώλων εʹ ὡς ἐλλειπόντων, ὃ εἰκὸς ἦν συμβῆναι, περὶ ἃ εἴρηται καὶ ἐν ταῖς πρώταις Νεφέλαις. αἱ μετὰ τὸν τόπον ἐν ἐκθέσει

ῥήσεις τοῦ χοροῦ, παραβατικώτεραι δὲ πρὸς τοὺς κριτάς, Barb στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοί. Barb Rs

book 1115b τοὺς κριτὰς ENMNp ἃ κερδανοῦσιν EM: αἰτιατικὴ ἀντὶ εὐθείας· οἷον οἱ κριταί. RVENMNp καὶ M Ὅμηρος μητέρα δ' ἤτοι θυμὸς ἐποτρύνει ἀντὶ τοῦ "ἡ μήτηρ". RVENMNp

book 1115c τῇ αἰτιατικῇ ἐχρήσατο ἀντὶ εὐθείας, ὡς καὶ ἐν Ἀχαρνεῦσιν δεινόν γε τὸν κήρυκα τὸν παρὰ βροτοῖς οἰχόμενον, εἰ μηδέποτε νοστήσει. Rs

book 1115d ἤν τι τόνδε τὸν χορὸν ὠφελῶσιν M: τὸν τῶν Νεφελῶν. REM

book 1116 ὠφελῶς' REMNp ἐκ τῶν δικαίων RENp: συναγωνίζωνται καὶ συλλαμβάνωνταί τι κατὰ τὸ δίκαιον. RVEMbisNp ἵνα δὲ μὴ χάριτι δοκῇ νικᾶν καὶ τὴν ψῆφον φέρειν, ἀλλὰ ταῖς ἀληθείαις,

book 1116a τοῦτο ἐξέθηκεν. ENp

book 1116b προσέθηκε τοῦτο. RVM

book 1117a πρῶτα μὲν γὰρ ἢν νεοῦν βούλησθε M: ἀντὶ τοῦ RV "ἀροτριᾶν RVEMbisRs καὶ RV σπείρειν". RVEMbis

book 1117b ἐν ὥρᾳ] ἀντὶ τοῦ V "ἐν καιρῷ". VE

book 1119 καρπὸν τεκούσας E: χαριέντως εἶπε "τεκούσας" καὶ "φυλάξαι" ἐπὶ τῆς βλαστήσεως τῆς ἀμπέλου· λίαν γὰρ εἰς σίνος εὐχερής. VE

book 1120a αὐχμὸν πιέζειν RVE: ἀντὶ τοῦ VE "ξηρασίαν RVEbis καταπονεῖν, RVEbisM ἀφανίζειν". REM

book 1120b ἐπομβρίαν] πλῆθος ὑετοῦ. EM

book 1121 εἰ δ' ἀτιμάσει τις ἡμᾶς M: μὴ κρίνας ἡμᾶς νικᾶν δηλονότι. EMbis

book 1122 πρὸς ἡμῶν] ἀντὶ τοῦ "παρ' ἡμῶν". E

book 1125a τοιαύταις σφενδόναις E: σφενδόνας εἶπεν, ὅτι ἡ χάλαζα ὡς λίθος ἐστίν. EM

book 1125b ἡ μεταφορὰ ἀπὸ τῶν λίθων καὶ τῶν σφενδονῶν. θέλει δὲ τὴν χιόνα εἰπεῖν. RVEM οὐκ ἀκύρως δὲ RVE τὸ RV "παιήσομεν", ἐπειδὴ ἀνθούντων τῶν καρπῶν ἡ χιὼν σίνεται. RVE

book 1125c σφενδόναις] χαλάζαις. EA

book 1125d παιήσομεν] τυπτήσομεν. EMbis

book 1126alpha ἢν δὲ πλινθεύοντ' ἴδωμεν M: τῷ γὰρ πλινθεύοντι ζημία ὁ ὑετός. EM διαλύεται γὰρ ὑπ' αὐτοῦ ἡ πλίνθος. M

book 1126beta ζημία γὰρ τοῖς πλινθεύουσιν, ἐπειδὰν ὑετὸς γένηται. RV

book 1127 τὸν κέραμον] τὰς ἐν τῇ στέγῃ κεραμίδας. VE

book 1129 ὕσομεν τὴν νύκτα πᾶσαν M: ὅτε ἀνάγκη EMbis ἐστὶ E μετελθεῖν τὴν νύμφην. EMbis

book 1130alpha κἂν ἐν Αἰγύπτῳ τυχεῖν ὢν EM μᾶλλον M: ἢ ἐπεὶ μὴ ὕειν δοκεῖ αὐτόθι, ὡς Ἡρόδοτος. ἐκεῖ οὖν 〈εἶναι〉 θελήσει, ἔνθα μὴ βλαβήσεται ἐκ τῶν Νεφελῶν, ὡς πορρωτάτω τῆς πατρίδος. ἢ ὡς ἐπὶ κατάρας· ἐπεὶ καταρᾶται. ἐλέγετο γὰρ λῃστεύεσθαι ἡ Αἴγυπτος. EM

book 1130beta ὡς ἐπὶ κατάρας, ἐπεὶ ὡς λῃστευομένη διεβάλλετο ἡ Αἴγυπτος. ἢ βουλήσεται πορρωτάτω εἶναι, ὅπου αὐτὸν οὐ βλάψει ὁ ὑετός· ἐπεὶ ἐν Αἰγύπτῳ δοκεῖ μὴ ὕειν, ὥς RV φησιν V Ἡρόδοτος RV "ὕσθησαν γὰρ τότε αἱ Θῆβαι οὐδαμὰ πρότερον ὑσθεῖσαι". V

book 1131a κορωνὶς εἰσιόντων τῶν ὑποκριτῶν καὶ εἴσθεσις παρὰ τοὺς τετραμέτρους· ἔστι γὰρ τὰ ἑξῆς ἰαμβικὰ τρίμετρα κγʹ. RE

book 1131b πέμπτη EM, τετρὰς E: ἐξέρχεται ὁ Στρεψιάδης ἀριθμῶν τὰς ἡμέρας. οὕτω δὲ ἠρίθμουν Ἀθηναῖοι· τὰς μὲν ἀπὸ νουμηνίας ὁμοίως ἡμῖν ἀριθμοῦσι, πρώτη, δευτέρα, τρίτη, RVEMA τετράς, RVM ἕως δεκάτης· εἶτα ἑνδεκάτη, δωδεκάτη, RVEM τρίτη ἐπὶ δέκα, τετάρτη ἐπὶ δέκα,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἕως εἰκάδος· εἶτα ἣν ἡμεῖς εἰκάδα πρώτην, ἐνάτην φθίνοντος αὐτοί φασιν· εἶτα ὀγδόην ἕως ἕνης τε καὶ νέας. RVEMA

book 1131c πέμπτη, τετράς ENp: οὐ προσέθηκε τὸ φθίνοντος. οὕτω γάρ, φασίν, Ἀθηναῖοι ἀριθμοῦσιν· ἀπὸ πρώτης ἕως ιβʹ προστιθέασι τὸ ἱσταμένου· ἀπὸ ιγʹ ἕως ιθʹ τὸ ἐπὶ δέκα· εἶτα ἡ μεγάλη εἰκάς· ἀπὸ εἰκοστῆς πρώτης ἕως εἰκοστῆς ἐνάτης τὸ φθίνοντος· τὴν δὲ λʹ ἕνην τε καὶ νέαν, ἐπεὶ μετέχει τοῦ τε παλαιοῦ καὶ τοῦ νέου φωτός, EMANp ταὐτὸν δὲ καὶ Δημητριάδας προσηγόρευσαν. ENp

book 1131d τὴν δευτέραν καὶ εἰκάδα Ἀθηναῖοι ἐνάτην φθίνοντος ἐκάλουν καὶ τὴν τρίτην ὀγδόην καὶ τὴν τετάρτην ἑβδόμην καὶ τὴν πέμπτην ἕκτην καὶ τὴν ἕκτην πέμπτην καὶ τὴν ἑβδόμην τετάρτην καὶ τὴν ὀγδόην τρίτην καὶ τὴν ἐνάτην καὶ εἰκάδα δευτέραν φθίνοντος· εἶτα τὴν τριακάδα ἕνην τε καὶ νέαν, ἐν ᾗ οἱ τόκοι ἀπῃτοῦντο. RVENp

book 1131e πέμπτη, τετράς: οὕτως ἀριθμοῦσι τὰς ἡμέρας· ἀπὸ πρώτης τῆς καινῆς σελήνης ἕως ιβʹ ὁμοίως ἡμῖν· ἀπὸ ιγʹ ἐπὶ δέκα, 〈γʹ ἐπὶ δέκα,〉 τετάρτη ἐπὶ δέκα ἕως θʹ ἐπὶ δέκα. καὶ ἡ μεγάλη λοιπὸν εἰκὰς ὡς μέχρι ταύτης ἀπαρτιζομένης τὴν δʹ, γʹ. καὶ τὴν ὑστέραν μίαν καὶ εἰκάδα, ἢ ὥς τινες δεκάτην φθίνοντος· τὴν κβʹ ἐνάτην φθίνοντος. ὑφαιροῦνται ἐφεξῆς μίαν ἕως κθʹ, ἣν ἐκάλουν δευτέραν φθίνοντος. λοιπὸν ἕνην καὶ νέαν ἔλεγον τὴν λʹ, ἐπεὶ ἐν αὐτῇ συντελεῖται ὁ μὴν καὶ ἀρχὴν ἔχει τοῦ ἑτέρου μηνὸς τῆς σελήνης κθʹ ἡμερῶν καὶ 〈ἡμισείασ〉 ψηφιζομένης. ὥστε ἡ μὲν κςʹ παρʼ αὐτοῖς πέμπτη ἀκούει, ἡ δὲ ζʹ παρʼ αὐτοῖς τετρὰς λέγεται. E

book 1131f τὰς λʹ ἡμέρας τῆς σελήνης εἰς γʹ δεκάδας Ἀθηναῖοι διαιροῦσιν. καὶ τὴν μὲν πρώτην ὡς ἡμεῖς ἀπαριθμοῦνται, τὴν δὲ δευτέραν οὕτως· πρώτη ἐπὶ δέκα, δευτέρα ἐπὶ δέκα, ἄχρι τοῦ θʹ. τὴν γὰρ εἰκάδα οὕτω καλοῦσιν. τὴν δὲ εἰκοστὴν πρώτην ὑστέραν δεκάδα. καὶ τὴν μετὰ ταύτην θʹ φθίνοντος, ἕως δευτέραν φθίνοντος, ἥτις ἐστὶν κθʹ. τὴν γὰρ λʹ ἕνην καὶ νέαν φασίν. E

book 1131g alpha πέμπτη: ἔστιν ἡ καλουμένη κςʹ· φθίνοντος. EM

book 1131g beta πέμπτη: αὕτη ἐστὶ κςʹ· φθίνοντος. RV

book 1131h πέμπτη, τετράς, τρίτη … δευτέρα] κςʹ, κζʹ, κηʹ … κθʹ. EMARs

book 1134a ἕσθʼ M ἕνη τε καὶ νέα REM: ἡ καλουμένη νουμηνία· οὕτω παρʼ Ἀθηναίοις ἡ παρʼ ἡμῖν τριακάς, ἐπειδὴ συμβαίνει ἐν αὐτῇ καὶ λήγειν τὴν σελήνην καὶ γεννᾶσθαι. τότε δὲ τοὺς μὴ ταχέως ἀποδιδόντας τοὺς τόκους ἢ τὰ δάνεια ἀπῄτουν ὡς ὑπερώρους RVEM γενομένους. RV διὸ λυπεῖσθαί φησιν ὁρῶν ἐνισταμένην ἕνην τε καὶ νέαν. RVEM

book 1134b ἕνη καὶ νέα: ἡ νουμηνία. διὰ μὲν τὸ παρελθὸν ἕνη, διὰ δὲ τὴν ἀρχὴν νέα. EM

book 1134c ἕνη τε καὶ νέα: ἡ νουμηνία· διὰ τὸ τοῦ μὲν παρελθόντος μηνὸς εἶναι τέλος, ἀρχὴν δὲ τοῦ ἐνισταμένου. E

book 1134d ἕνη τε καὶ νέα] ἤγουν ἡ πρώτη, ἡ τριακάς. ERs

book 1136a θείς μοι πρυτανεῖʼ ENM ἀπολεῖν μέ E: τὰς γὰρ δεκάδας τοῦ χρέους καταβάλλοντες τοῖς πρυτανεῦσιν εἰσῆγον τοὺς χρεωστοῦντας. RVENM

book 1136b τὰ νῦν καλούμενα παρὰ Ῥωμαίοις σπόρτουλα, VE ἤγουν τὰ τριμένσουλα. E

book 1142 ὀλίγον γάρ μοι μέλει EM: ἀντὶ τοῦ “οὐδὲ ὀλίγον φροντίζω λοιπὸν τῶν δανειστῶν”, διὰ τὸ μεμαθηκέναι δηλαδὴ τὸν υἱὸν τὸν ἥττονα λόγον, ᾧ περιεγένετο τῶν δίκαια λεγόντων. RVEM

book 1145 ἠμί] φημί. ERs

book 1146 ἀλλὰ τουτονὶ πρῶτον λαβέ EM: θύλακα ἀλφίτων δίδωσιν αὐτῷ. καὶ γὰρ ἄνω εἶπε διαλφιτώσω σου κύκλῳ τὴν κάρδοπον. RVEM

book 1147 ἐπιθαυμάζειν] ἀντὶ τοῦ “δώροις τιμᾶν”. RE

book 1149

ἐκεῖνον εἶφ’ M ὃν ἀρτίως EM εἰσήγαγες E: ὅτι V διαφέρει τὸ ἄρτι τοῦ ἀρτίως παρὰ VEM τοῖς V Ἀττικοῖς. ἄρτι μὲν γὰρ ἀντὶ τοῦ “νῦν”, ἀρτίως δὲ VEM ἀντὶ τοῦ V “πρὸ ὀλίγου”. VEM

book 1150a παμβασίλει’ M Ἀπαιόλη EM: πέπλακεν ὄνομα δαίμονος, σωματοποιήσας αὐτήν, παρὰ τὸ ἀπαιολεῖν καὶ κινεῖν καὶ στερεῖν. ENMNp

book 1150b 〈θεόν τινα πεποίηκεν, οἷον ἐκτροπὴν〉 ἤ τινα τοιαύτην· ὡς ἂν 〈εἰ〉 εἴποι τις· ὦ Ἀδικία. EMNp

book 1150c Ἀπαιόλη] ἐκ τοῦ αἰολεῖν ἤγουν κινεῖν καὶ ταράσσειν· κινοῦσα καὶ ταράττουσα. E

book 1150d Ἀπαιόλη] ἀποστέρησις. R

book 1150e Ἀριστοφάνης ὀξεῖαν τὴν ἐσχάτην φησίν, Ἀπαιολή. EMNp

book 1152 ἐρωτηματικῶς. RE

book 1154a (1154—1170) βοάσομαί γ’ ἄρα E: διπλῆ καὶ εἴσθεσις εἰς μέλος ἀμοιβαῖον τῶν ὑποκριτῶν εἰκοσίκωλον, ὧν τὰ μὲν β′ ἐξ ἰαμβικῆς βάσεως καὶ τροχαϊκοῦ ἑφθημιμεροῦς· τὰ δὲ ἑξῆς δύο ἐν ἐκθέσει ἰαμβεῖα τρίμετρα ἀκατάληκτα. ERs

book 1154b βοάσομαι RERs 〈...〉 τὰν ὑπέρτονον RE: παρὰ τὰ ἐκ Πηλέως Εὐριπίδου. RVERs ἐπιφέρει γὰρ ἰὼ πύλαισιν ἤ τις δόμοις. RERs καὶ Φρύνιχος Σατύροις βοάσομαί γ’ ἄρα τὰν ὑπέρτονον βοάν. ERs

book 1154c χορικὴ περιπλοκή· EM εἴρηται διαλέκτῳ δωρίδι. VEM

book 1154d ὑπέρτονον EM: μεγάλην, ὑπέροχον. φησὶ δέ· εἰ οὕτως ὁ παῖς ἐκπεπαίδευται, μέγιστον ὑπὸ τῆς χαρᾶς ἐκβοήσομαι. VEM

book 1154e ὑπέρτονον] πρὸς τὴν μουσικήν. E

book 1155a ἰὼ] ἐπὶ χαρᾶς. MRs

book 1155b ὦβολοστάται] δανεισταί· EA ἀπὸ τοῦ ὀβολοῦ. E

book 1156a τἀρχεῖα (sic)] οἱ ἄρχοντες. E

book 1156b τἀρχεῖα] τὰς ἀρχάς, EM τὰ δικαστήρια. EMARs

book 1156c τἀρχεῖα] τὰ κεφάλαια οὕτως ἔλεγον. E

book 1158a τὰ ἑξῆς β′ δακτυλικὰ πενθημιμερῆ. ERs

book 1158b οἷος] θαυμαστικόν. E

book 1160a alpha ἀκόλουθον τῷ REMNp

book 1160a beta παρὰ τὰ εἰρημένα ὑπ’ αὐτοῦ V

book 1160a εὖ μοι στομώσεις RVEMNp αὐτόν· RVE ἐπὶ μὲν θάτερα οἵαν δικιδίοις. EM

book 1160b ἀμφήκει REMNp γλώττῃ REM λάμπων M: ὡς ἀπὸ εὐθείας τῆς ἀμφήκης. RVEMRsNp

book 1161a λάμπων πρόβολος ἐμός] τὸ η′ ἀναπαιστικὸν πενθημιμερές. E

book 1161b alpha πρόβολος] τεῖχος, ἀσφαλὴς προστάτης. EM

book 1161b beta πρόβολος V: προστάτης, τεῖχος, ἀσφάλεια. RV

book 1161c προβαλλόμενος. R

book 1162 τὸ θ′ ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. E

book 1163a λυσανίας] χοριαμβικόν. Rs

book 1163b λυσανίας REN: λύων τὰς τοῦ πατρὸς ἀνίας. RVENMRsNp

book 1163c ἐκτεταμένως προενεκτέον τὴν πρώτην καὶ τὴν τρίτην συλλαβήν. RVENp

book 1163d

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρὸς τὴν ὀνοματοποιίαν. τὸν Σοφοκλῆν χαρακτηρίζει λέγοντα Ζεῦ ἄνοστος ἄγοιτο νικομάχαν καὶ παυσανίαν καὶ ἀτρίδαν. E

book 1163e πατρῴων μεγάλων κακῶν] τὸ ια′ E γλυκώνειον. E(M9)

book 1164 ὃν κάλεσον τρέχων / ἔνδοθεν ὡς ἐμέ] τὸ ιβ′ καὶ ιγ′ δόχμιος συζυγία. E(M9)

book 1165/6 ὦ τέκνον· ὦ παῖ παῖ / ἔξελθ’ οἴκων] τὸ ιδ′ καὶ ιε′ δακτυλικὸν πενθημιμερές. E(M9)

book 1170a ἰοῦ ἰοῦ V: διπλῆ· εἶτα καὶ εἴσθεσις εἰς προαναφώνησιν τὸ “ἰοῦ ἰοῦ”: καὶ ἴαμβοι τρίμετροι 〈τριάκοντα〉 ε′ ἐν ἐκθέσει. RV

book 1170b alpha ἰού, ἰού M: τὸ ἰοῦ ἰοῦ ἐπὶ χαρᾶς περισπᾶται. RVEM

book 1170b beta ὅτε ἐπὶ χαρᾶς, τὸ ἰοῦ περισπᾶται· ὅτε δὲ ἐπὶ θλίψεως, ὀξύνεται. Rs

book 1171a τὴν χροιὰν ἰδών REM: ἐκ τῆς ἀσκήσεως ὠχριάσαντα. RVEMbis

book 1171b οἱ Ἀττικοὶ τὴν χροιὰν παροξύνουσιν. RVEM

book 1172a νῦν μέν τ’ ἰδεῖν EM: λείπει εἰς τό, REM ἵν’ ᾖ EM εἰς τὸ ἰδεῖν. REMbis

book 1172b ἰδεῖν] ὡς ἀπὸ τῆς θέας. E

book 1172c ἐξαρνητικὸς E: ἀρνεῖσθαι δυνάμενος. EAM

book 1173a καὶ τοῦτο τοὐπιχώριον EN: τῷ παρὰ τὴν συνήθειαν καὶ ἀνὰ χεῖρα ἐχρήσατο. VE εἰώθαμεν γὰρ ἐν ταῖς τῶν ἐναντίων διαλέξεσι λέγειν· τί λέγεις σύ; RVEN

book 1173b ὅτε γὰρ τοὺς ἐναντίους καταπλῆξαι βουλοίμεθα, τῇ τοιαύτῃ φωνῇ χρώμεθα. E

book 1173c οἱ γὰρ ἀναισχυντοῦντες παρὰ Ἀθηναίοις ἀνθιστάμενοι ἔλεγον· τί λέγεις σύ; E

book 1174a ἀτεχνῶς: ἄγαν, VENp ἀκριβῶς, RVENp πάνυ. RV

book 1174b ἐπανθεῖ VENp: πλεονάζει, RVEANp ἀκμάζει. VENp

book 1176a ἀττικὸν βλέπος ENNp: ἀντὶ τοῦ “πανοῦργον βλέμμα”. RV- ENMANp

book 1176b alpha τοὺς γὰρ Ἀττικοὺς ἐπὶ ἀναιδείᾳ διέβαλλον, ENNp τοὺς δὲ Ἀθηναίους ἐπὶ ἀναιδείᾳ καὶ τῷ ἱκανοὺς εἶναι λέγειν. ENA

book 1176b beta οἱ γὰρ Ἀθηναῖοι ἐπὶ RV πανουργίᾳ καὶ R ἀναιδείᾳ διεβάλλοντο. RV

book 1176c 1176] χ. E

book 1176d τὸ χ πρὸς τὸν σχηματισμὸν τῆς λέξεως. VEN

book 1177 νῦν] διὰ τὰ χρέα. R

book 1179 ἕνη γάρ ἐστι καὶ νέα RENM τίς R: ἀντιλέγει τῷ ὡμολογημένῳ, RVEbisNMNp ὅτι οὐκ ἔστιν ἡμέρα μία ἕνη καὶ νέα, ἀλλὰ δύο, RVENMNp

book 1179alpha ὅτι οὐ δυνατὸν τὰς δύο ἡμέρας μίαν γενέσθαι· RVENMNp καὶ δείκνυσιν, ὅτι οὐ τῆς μιᾶς ἡμέρας ἐστὶ τὰ δύο ὀνόματα, RVEMNp ἀλλὰ τὸ μὲν ἕνη τριακάδος, τὸ δὲ τῆς νουμηνίας, ἡ νέα. RVENp

book 1179beta ἕνη μὲν ἡ τριακάς, νέα δὲ ἡ νουμηνία. καὶ οὕτως ὁ Σόλων τὰς μὲν κλήσεις τῶν δικῶν τῇ τριακάδι φησὶ γίνεσθαι, ὅπως ὁ κληθεὶς εἰς δίκην ἔχῃ ὅλην τὴν τριακάδα εἰς τὸ βουλεύεσθαι τὰ περὶ ἑαυτοῦ. ὥστε ἐν αὐτῷ καὶ τὰ πρυτανεῖα θεῖναι ἐν τῷ δημοσίῳ. RV

book 1180a πρυτανεῖα: τὰ παρὰ τοῦ διώκοντος καὶ τοῦ φεύγοντος διδόμενα. εἰ δὲ μὴ ἐδίδοντο, διέγραφον οἱ εἰσαγωγεῖς τὴν δίκην. M

book 1180b τὰ πρυτανεῖά] τὰ δῶρα τὰ διδόμενα τοῖς πρυτάναις ἤγουν τοῖς ἄρχουσιν. E

book 1181a ἀπολοῦς’ REMNp ἄρ’ αὖθ’ οἱ θέντες EM: ἀντὶ τοῦ “ζημιωθήσονται RVEMbisNp ταῦτα ἅπερ ἀναλώσουσιν”. RVEMNp

book 1181b σοφίζεται, ὅτι οὐ δύναταί τις εἶναι ἡμέρα ἡ αὐτὴ ἕνη τε καὶ νέα. EMNp

book 1186 νοεῖ (pr.)] δηλοῖ. E

book 1187a ὁ Σόλων ὁ παλαιὸς RE: ἀρχὴ αὕτη τῆς τοῦ νόμου διηγήσεως. RVENp

book 1187b Σόλων: ὁ νομοθέτης. RV

book 1187c alpha ἐκμιμεῖται τοὺς ῥήτορας, οἳ τὰ μὲν ὀνόματα τῶν νομοθετῶν ἴσασιν, οὐ μέντοι τοὺς νόμους. ENp

book 1187c beta ἀπομιμεῖται τοὺς ῥήτορας τοὺς τὰ ὀνόματα μὲν τῶν νομοθετῶν λέγοντας, μὴ μέντοι τοὺς νόμους εἰδότας. RV

book 1189 ἐκεῖνος οὖν EM τὴν κλῆσιν ENM: τὴν ἐν ταῖς δίκαις εἰσαγωγήν· καλοῦνται γὰρ εἰς τὸ δικαστήριον. RVENM

book 1191a ἵν’ EΘM αἱ θέσεις EΘNM γίγνοιντο EM τῇ νουμηνίᾳ M: θέσεις VEΘ αἱ δίκαι EΘNMbis καὶ EΘN αἱ καταβολαὶ τῶν πρυτανείων, RVEΘNMA ἅπερ μισθὸς ἦν τῆς εἰσαγωγῆς τῆς δίκης. RVEΘNM

book 1191b alpha θέσεις τὰ δικαστήρια παρὰ τὸ τοὺς δικαζομένους δραχμὴν τῷ δημοσίῳ διδόναι. EΘNANp

book 1191b beta ἐδίδοτο γὰρ δραχμὴ τῷ δημοσίῳ. RV

book 1192a ἵν’ ὦ μέλε’ EΘNM: ἵνα, φησί, παρόντες τῇ κλήσει, εἰ συνειδεῖεν ἑαυτοῖς ἀδικοῦσι, πρὸς τοὺς ἐχθροὺς διαλυσάμενοι πράγματα μὴ ἔχωσιν. EΘNMNp

book 1192b ἵνα πρὸ μιᾶς ἡμέρας οἱ παραστάντες, οἱ κατηγορούμενοι, διαλυθῶσιν· εἰ δὲ μή, τῇ νουμηνίᾳ δικάζοιντο. RVEM

book 1192c ⟦ἵνα παρόντες τῇ κλήσει συνειδεῖεν⟧ τὰς ἡμέρας, ἐν αἷς μετὰ τῶν ἐχθρῶν δικάζονται. E

book 1192d εἰς σκέψιν αὐτοῖς, φησίν, ἐδίδοτο ἡ τριακάς. [R]VEbisQNMNp

book 1193 οἱ φεύγοντες] οἱ ἐναγόμενοι RVE καὶ V κατηγορούμενοι. VM

book 1194 ἀντὶ τοῦ “ἄνευ δίκης”. RV

book 1195a ἕωθεν EM ὑπανιῷντο ENM: ἀντὶ τοῦ “μετὰ βίας ἀπαιτοῖντο”. RVENM

book 1195b ὑπανιῷντο] μαστίζοιντο. RVEM

book 1195c ἔθος γὰρ ἦν καταβάλλειν τῇ νουμηνίᾳ. ENM

book 1196 πῶς οὐ δέχονται EM δῆτα E: διὰ τί οὐκ ἔμεινε τὸ ἔθος, ἀλλὰ τῇ τριακάδι καταβάλλουσι δέον τῇ νουμηνίᾳ; RVEM

book 1197a ἀρχαὶ EΘMNp: οἱ ἄρχοντες. RVEΘMNp

book 1197b πρυτανεῖ’ VEΘNp: τὰ διδόμενα ἀπὸ τῶν δικαζομένων τῷ δημοσίῳ ἀργύρια. VEΘNMANp

book 1197c ἀλλ’ ἕνῃ τε καὶ νέᾳ: ἀποδεικτικὸς ὁ τόπος, ὅτι ἕνη καὶ νέα λέγεται ἡ τριακάς· ἀντιδιέσταλκε γὰρ πρὸς νουμηνίαν. E

book 1197d ἕνῃ τε καὶ νέᾳ] τῇ τριακάδι συνήθως. EΘMNp

book 1198a προτένθαι: οἱ προλαμβάνοντες VENNp καὶ προαρπάζοντες ENNp τὰ ὄψα, πρὶν εἰς τὴν ἀγορὰν κομισθῆναι, VENNp καὶ μεταπιπράσκοντες πλείονος· ENNp οἱ νῦν μετάβολοι καλούμενοι. ἢ λίχνοι· ἢ ἀκρατεῖς. E

book 1198b οἱ πρὸ καιροῦ τῶν σφαγίων ἀπογευόμενοι. RV

book 1199a οὐκέτι γὰρ αὐτοῖς δίδοται ἡ σκέψις ἡ πρὸ μιᾶς, ἀλλ’ εὐθὺς ἐπὶ τὸ καταβαλεῖν ὁρμῶσιν. EbisNNp εἰκὸς γὰρ ἦν αὐτοὺς ἀποσκεπτομένους τῇ ἐνδοσίμῳ τριακοστῇ καταβάλλειν χωρὶς δίκης τὸ χρέος, καὶ μηκέτι τούτους λαμβάνειν τὰ πρυτανεῖα. διὰ τοῦτο τοίνυν Epr.Np προέλαβον τὴν προθεσμίαν ὑπὸ τοῦ ἐπιθυμητικῶς ἔχειν ὑπὸ τοῦ κέρδους ἡττώμενοι. VEbisNp

book 1199b ὑφελοίατο E: λάβοιεν. VEN

book 1200a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προὐτένθευσαν VE: προελιμβεύσαντο, E προελιχνεύσαντο, VE προὐθέσμευσαν ἡμέραν μίαν. RE

book 1200b προυτένθευσαν] προέθηκαν. E

book 1201 τί κάθησθ’ ἀβέλτεροι E: ἀντὶ τοῦ RV ἀνόητοι· βέλτερος γὰρ ὁ φρόνιμος. RVEN ἢ ἀπαίδευτοι. πρὸς δὲ τοὺς δανειστὰς ποιεῖ 〈ται〉 τὸν λόγον. διὰ γὰρ τοῦ μωροῦ δοκιμάζεται ὁ φρόνιμος. EN

book 1202 λίθοι] ἀναίσθητοι. EN

book 1203a ἄλλως] ματαίως. RVE

book 1203b ἀμφορεῖς νενησμένοι E: κέραμοι RVEN σεσωρευμένοι· RVERs ἢ E πεπληρωμένοι. EN νηῆσαι γὰρ τὸ σωρεῦσαι. RV

book 1203c ἀμφορεῖς] μεγαρικοὶ κέραμοι. M

book 1205 ᾀστέον E: τὸ τέλειον “ᾀστέον μοι ἐγκώμιον”. REbisN ἀντὶ τοῦ “ὀφείλω ᾄδειν”. EbisN

book 1206a μάκαρ ὦ Στρεψίαδες Np: διπλῆ καὶ εἴσθεσις εἰς μέλος τοῦ ὑποκριτοῦ ὀκτάκωλον, ὧν τὸ μὲν πρῶτον ἰωνικὸν ἀπ’ ἐλάσσονος δίμετρον καταληκτικόν· τὰ δὲ ἐφεξῆς τρία ἀπὸ ἰαμβικῆς βάσεως καὶ τροχαϊκῆς κατακλεῖδος. τὸ πέμπτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ϛʹ ἐξ ἰαμβικοῦ πενθημιμεροῦς καὶ δοχμίου συζυγίας· ERsNp συνῆπται δὲ τῇ λέξει καὶ ἑτέραν διαίρεσιν 〈προαιρετέον〉, τὴν 〈εἰσ〉 ἰαμβικὸν τρίμετρον ὑπερκατάληκτον καὶ δόχμιον. ENp τὸ ζʹ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ηʹ ἰθυφαλλικόν. ERsNp

book 1206b alpha μάκαρ ὦ Στρεψίαδες EMRs: Στρεψιάδη μὲν ἡ κλητική, ἀλλ’ ἵνα παίξῃ εἰς τὸ ὄνομα, διέστρεψε τὴν κλητικήν. ENMRsNp

book 1206b beta ὡς ἄγροικος περὶ τὴν κλητικὴν ἐσφάλη· ἔδει γὰρ εἰπεῖν· ὦ Στρεψιάδη. ἔπαιξεν οὖν παρὰ τὴν ἀναλογίαν. RV

book 1206c alpha ὡς ἄγροικος ἔπταισεν. ENMRsNp

book 1209alpha φήσουσι ENpδή μ’ οἱ φίλοι E: ἔχουσι λέγειν οἱ φίλοι καὶ οἱ δημόται “μάκαρ ὦ Στρεψίαδες” καὶ τὰ ἑξῆς. ENp

book 1209beta φήσουσι τοῦτο τὸ “μάκαρ ὦ Στρεψίαδες” καὶ οἱ φίλοι καὶ οἱ δημόται. R

book 1209gamma τοῦτό μοι εἴπωσι καὶ οἱ φίλοι καὶ οἱ δημόται, τὸ “ὦ μάκαρ ὦ Στρεψίαδες”. V

book 1214a (1214—1258) εἶτ’ ἄνδρα ERsNp τῶν αὑτοῦ E: διπλῆ καὶ ἔκθεσις εἰς ἰάμβους τριμέτρους ἀκαταλήκτους μςʹ ἕως τοῦ ὅτι ἐκάλεσας εὐηθικῶς ERsNp τὴν κάρδοπον. ENp

book 1214b εἶτ’ ἄνδρα τῶν αὑτοῦ RM: οὗτος ὁ δανειστής ἐστι Στρεψιάδου Πασίας ἄγων σὺν αὐτῷ μάρτυρα, ᾧ καὶ διαλέγεται ἀσχάλλων ἐπὶ τῷ μὴ κεκομίσθαι ἅπερ ἐδάνεισε χρήματα. RVEM φησὶν οὖν· οὐ χρὴ ῥᾳδίως ἄλλοις προΐεσθαι τὰ ἑαυτοῦ χρήματα. ἐμφαντικῇ δὲ λέξει ἐχρήσατο

book 1214b alpha εἰπὼν μὴ διδόναι—ὁ γὰρ δῶρον λαβὼν τάχα τὴν χάριν οἶδε τῷ δεδωκότι—ἀλλ’ οὔτε δανεῖσαι—ὁ γὰρ δανείζων ἐπὶ μείζονι ὠφελείᾳ δίδωσί τινι—ἀλλὰ προϊέναι ἐμφαντικῶς ἀντὶ τοῦ “ῥιπτεῖν καὶ ἀπολέσαι καὶ σκορπίζειν”. E

book 1214b beta οὔτε διδόναι φήσας—ὁ γὰρ δῶρόν τι λαβὼν οἶδε τάχα τῷ διδόντι χάριν—οὔτε χρῆσαι εἰπών—ὁ γὰρ δανείσας ἐπ’ ὠφελείᾳ δίδωσί τινι— ἀλλ’ εὗρεν ὄνομα τὸ προϊέναι μόνον οὐχὶ τὴν δύναμιν τοῦ ῥιπτεῖν καὶ σκορπίζειν ἔχον. RV

book 1214c οὔτε χαρίσασθαι ἔφη—οὐδὲ γὰρ ἐχαρίσατο—οὔτε δανεῖσαι, ἀλλὰ προϊέναι, ὃ τὸ ῥῖψαι καὶ ἀπολέσαι. V

book 1214d προϊέναι VE: ἀντὶ τοῦ “προδιδόναι καὶ κιχρᾶν”. VENM

book 1214e προϊέναι] διδόναι. EMRs

book 1214f προϊέναι] δανείζειν. NMA

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1216a ἀπερυθριᾶσαι EM μᾶλλον M: ἀντὶ τοῦ “ἀρνησάμενον μὴ χρῆσαι ἢ χρήσαντα πράγματα ἔχειν”. EM

book 1216b ἀπαναισχυντῆσαι RVENMA εἰπόντα

book 1216b alpha μὴ ἔχειν. EM

book 1216b beta ὅτι οὐκ ἔχω. RV

book 1218 κλητεύσοντα] μαρτυρήσοντα. RVMARs

book 1219a δημότῃ R: ἀπὸ τοῦ αὐτοῦ δήμου. RE

book 1219b τῷ μάρτυρι δηλονότι. RbisV

book 1219c ὅτι καλῶ αὐτὸν εἰς δικαστήριον. RVE

book 1219d ὅτι ἀπαιτεῖ φίλον, ᾧ συμβαίνειν εἴωθεν. V

book 1220 ὅτι φιλοπράγμονες οἱ Ἀθηναῖοι. RV

book 1222a ἐς τὴν N ἕνην τε καὶ νέαν EN: εἰς δικαστήριον δηλονότι. VEN

book 1222b ὑπερβατόν· ἀλλὰ καλοῦμαι Στρεψιάδην ἐς τὴν ἕνην τε καὶ νέαν. RVEN

book 1223a εἰς δύ’ ... ἡμέρας] ἀπὸ κοινοῦ τὸ “καλοῦμαι”. REbis

book 1223b τοῦ χρήματος EM: λείπει χάριν· ἢ ἡ περί· ἀττικῶς. RVEM

book 1223c ἕνεκεν τοῦ χρήματος; RVEM

book 1223d οἷον “τοῦ πράγματος;” RVM

book 1223e δύναται καὶ ἐρωτηματικῶς, ἵνα ᾖ τοῦ Στρεψιάδου “ἕνεκεν τίνος;” εἶτα ἀποκρίνεται ὁ δανειστὴς “τῶν δώδεκα μνῶν” καὶ τὰ ἑξῆς. EM

book 1225a alpha τὸν ψαρὸν ENMNp ἵππον EM: τὸν ταχύν, ENMNp ἀπὸ τοῦ ψαίρειν· EMNp ὅθεν καὶ λαιψηρός. ENMNp ἢ τὸν τὸ χρῶμα τοιοῦτον. ENM

book 1225a beta τὸν ψαρὸν ἵππον R: τὸν τὸ χρῶμα τοιοῦτον. ἢ τὸν ταχύν, ἀπὸ τοῦ ψαίρειν· ὅθεν καὶ αἰψηρός. RV

book 1225b τὸν ψαρὸν] τὸν ταχύν· EARs ἢ τὸν ποικίλον. EA

book 1225c ψαρὸν] κατάστικτον ἢ ταχύν. M

book 1226 ὃν πάντες ὑμεῖς ἴστε M: ταῦτα λέγει ὡς συκοφαντούμενος ὑπ’ αὐτοῦ. RVEMbis

book 1229 τὸν ἀκατάβλητον] τὸν ἀήττητον, RENM τὸν V μηδενὶ καταβαλλόμενον· VEN ἤγουν EN τὸν ἥττονα. ENRs

book 1231 τοῦ μαθήματος] τῆς μαθήσεως. διὰ τοῦτο γὰρ ἔμαθεν. VE

book 1233a ἵν’ ... σε] ἀντὶ τοῦ “ὅπου ἄν σοι κελεύσω”. E

book 1233b ἀντὶ τοῦ “ὅπου ἄν σε κελεύσω ἐγώ”. V

book 1235 κἂν προσκαταθείην ENM: ἀντὶ τοῦ “καὶ ζημιωθείην ἂν τρεῖς ὀβολούς, ἵνα ἐπιτρέψῃς μοι ὀμόσαι τοὺς θεούς· οὕτω καταφρονῶ τοῦ ὅρκου· θεοὶ γὰρ οὔκ εἰσιν, RVEM ὥς φασιν”. ENM

book 1236 ἀναιδείας] ἀθεΐας. E

book 1237a ἁλσὶ διασμηχθεὶς EΘNM: οἱ σμηχόμενοι ἁλσὶ βελτίονες γίνονται. ἅμα καὶ ὅτι τοὺς παραφρονοῦντας διαβρέχομεν ἁλσὶ καὶ ἐλαίῳ, καὶ βελτίονες γίνονται. RVEΘNM

book 1237b ὡς παχύδερμον αὐτὸν χλευάζει. τὰ γὰρ παχέα ὑπὸ πιμελῆς τῶν δερμάτων ἁλσὶ μαλασσόμενα εὐρύτερα γίνονται, VEΘNMNp ὡς πλέον χωρῆσαι μέτρον. EΘNMNp

book 1237c 〈ἁλσὶ διασμηχθεὶς〉: διὰ τὸ βάρος τοῦ δέρματος. οἷον EΘNNp ἀποκαθαρθεὶς τὴν παχύτητα. VEΘNNp ἡ μεταφορὰ ἀπὸ τῶν βυρσῶν. EΘNNp

book 1237d ταῦτα λέγει ἢ ἀσκὸν ἢ ἀγγεῖον χαλκοῦν βαστάζων. VEΘN

book 1237e alpha ὡς ἐπ' ἀγγείου ἢ ἀσκοῦ. τινὲς δὲ ὡς ἐπὶ οἴνου· οἱ γὰρ δεχόμενοι ἅλας οὐ τρέπονται. EΘN

book 1237e beta ἁλσὶ διασμηχθεὶς R: ὡς ἐπὶ κεράμου ἢ ἀσκοῦ τὸν λόγον ποιεῖται. RV

book 1237f τὴν μεταφορὰν εἴληφεν ἀπὸ τῶν κεράμων καὶ τοῦ οἴνου, οἷς ἅλες 〈ἐμ〉 βάλλονται ὑπὲρ τοῦ μὴ ἐξίστασθαι μηδὲ ὀξίζειν εὐχερῶς. ἢ ἐπεὶ τοὺς ὑπὸ μέθης καὶ ὡς ἂν παραφρονοῦντας ὑποβρέχειν εἰώθαμεν ἐλαίῳ ἁλσὶ μεμιγμένῳ. ὡς οὖν τοῦ Στρεψιάδου μὴ καθεστηκότος, ἀλλὰ καὶ παραφρονοῦντος, ὃς ἐπὶ ὡμολογημένοις ἐξαρνός ἐστιν, οὕτω τῇ μεταφορᾷ ἐχρήσατο. φησὶν οὖν· οὐ τὰ τυχόντα οὗτος ὠφεληθείη διαβρεχθεὶς ἁλσίν. E

book 1237g ὡς γέροντα διασύρει· τὰ γὰρ στερρὰ καὶ παχύδερμα ἁλσὶ δαμάζομεν. ἢ ὡς παράφορον· ὅτι τοῖς παραφρονοῦσιν ἐλαίῳ καὶ ἅλατι σμήχοντες ὠφελοῦμεν. A

book 1237h διασμηχθεὶς] ὡς παχύς. E

book 1238a ἓξ χοᾶς χωρήσεται RV: λείπει E ὁ ἐγκέφαλος αὐτοῦ. RVE ἅμα δὲ ὡς ἐπὶ κεράμου ἢ ἀσκοῦ. RV

book 1238b alpha ἓξ χοᾶς χωρήσεται: πάλιν χλευάζει ὡς ἐπὶ ἀμφορέως καὶ οἴνου. ἢ πρὸς τὰ ἀνωτέρω· ἂν σμηχθῇ, πλέον χωρήσει, ὥσπερ λήκυθος ἢ ἀσκὸς ἢ ἄλλο τι τῶν τοιούτων· EM πλεῖον γὰρ χωρεῖ τῶν ἐμπεφρακότων ἀποβεβλημένων. E

book 1238b beta [ἔμεινεν ἐπὶ τῆς] τοῦ κεράμου ἢ ἀσκοῦ μεταφορᾶς, ὃς ἐὰν σμηχθῇ, πλέον χωρεῖ τῶν ἐμπεφρακότων ἀποβεβλημένων. RV

book 1240a καταπροΐξῃ EMNp: καταφρονήσεις· EMbis ANp παρὰ τὴν προῖκα. EMNp δωρεὰν ἐπεγχανῇ μοι. EM

book 1240b θαυμασίως M ἥσθην REMNp θεοῖς EMNp: παρεπιγραφή ἐστιν· γελῶν γὰρ τοῦτό φησιν. ἐκκαγχάζει γὰρ τῆς προσηγορίας ἀκούσας καὶ τοῦ Διός, γέλωτα τὸν ἐκείνου τιθέμενος ὅρκον. RVEMNp

book 1240c ταῦτά φησιν, ἐπεὶ δεδίδακται μήτε τὸν Δία μήτε τοὺς ἄλλους ἡγεῖσθαι θεοὺς ἢ τὰς Νεφέλας καὶ τὸν Δῖνον, ὡς ἔφησεν ὁ Σωκράτης. RVEM

book 1241a γελοῖος (sic)] γέλωτος ἄξιος. ERs

book 1241b ὀμνύμενος τοῖς εἰδόσιν E: ἀντὶ τοῦ RE "ἐμοὶ τῷ εἰδότι". RVE

book 1241c ἢ τοῖς ἐπιστήμοσι καὶ εἰδόσιν, ὅτι ὁ Ζεὺς οὐδείς ἐστιν. διὸ καὶ γέλωτος ποιητικὸς ὁ Ζεὺς ὁ παρα 〈κληθεὶς παρὰ〉 σοῦ. E

book 1242a τῷ χρόνῳ δώσεις δίκην: ἀντὶ τοῦ "ὑπὲρ M τῆς βλασφημίας" EM δίκην ὄντως δώσεις ὀψέ ποτε. M

book 242b ἀντὶ τοῦ "ὑπὲρ ὧν ἐβλασφήμησας". V

book 1244a εἰπὲ μόνον τὸ δοκοῦν σοι. VR

book 1244b ἀποκρινάμενος] τοῖς δικασταῖς δηλονότι. E

book 1246a alpha εἰσελθόντος τοῦ Στρεψιάδου ὁ δανειστής φησι πρὸς τὸν μάρτυρα. ENp

book 1246a beta τῷ μάρτυρί φησιν ὁ δανειστὴς εἰσελθόντος τοῦ Στρεψιάδου. R

book 1246b ὁ μάρτυς φησὶ τῷ Πασίᾳ εἰσελθόντος τοῦ Στρεψιάδου· ὅτι τί σοι δοκεῖ δράσειν ὁ Στρεψιάδης; εἰσέρχεται δὲ ἐκβάλαι κάρδοπον, ἵνα αὐτῷ διαλεχθῇ καθὼς ἐδιδάχθη ὑπὸ τοῦ Σωκράτους. V

book 1246c ἀποδώσειν σοι δοκεῖ: τινὲς τοῦτο τοῦ κλητῆρος εἶναι λέγουσιν. E

book 1247 1247] δεικνύει ὁ Στρεψιάδης τῷ δανειστῇ τὴν καρδόπην, καθὰ προέμαθεν. E

book 1248a ἐξ ὧν ἔμαθε παρὰ Σωκράτους. R

book 1248b alpha

τουτὶ τί ἐστιν E: εἰσελθὼν ὁ Στρεψιάδης προῆλθε πάλιν τῆς οἰκίας σκαφίδιον VENp ἢ μαγίδιον VE ἐξαγαγών. ἀνερωτᾷ οὖν αὐτοὺς καὶ πυνθάνεται, ὅ τι ποτὲ αὐτὸ προσαγορεύοιεν. VENp ὁ δὲ συνήθως φησιν ἀρσενικῶς “κάρδοπος”. οὗτος δὲ ἀπὸ τοῦ Σωκράτους καρδόπην αὐτὸ δεδίδακται λέγειν. ἵνα οὖν ἀμαθῆ καὶ ἀπαίδευτον ἀπὸ τοῦ πρώτου ἀποδείξῃ VE τὸν δανειστήν, V τοῦτό φησιν. VE

book 1248b beta τουτὶ τί ἐστιν: ἐξελθὼν πάλιν τῆς οἰκίας σφραγῖδα καὶ μαγίδιον ἐπιφέρει, ἵνα δείξῃ ἀμαθῆ καὶ ἀπαίδευτον τὸν δανειστήν. ἐρωτᾷ γοῦν· τοῦτο τί ἐστιν; ὁ δὲ συνήθως “κάρδοπος” εἶπεν ἀρσενικῶς· ὁ δὲ Στρεψιάδης καρδόπην αὐτὸν δεδίδακται παρὰ τοῦ Σωκράτους λέγειν. M

book 1250-'51 τουτέστι βαρβαρίζοντι ἀνθρώπῳ. E

book 1252a ἐν ὅσῳ ἐν ἐμαυτῷ εἰμι καὶ οἶδά τι. RENM

book 1252b οὐχ ὅσον EN γέ μ’ εἰδέναι E: ἀντὶ τοῦ “ὡς νομίζω”. ENM

book 1253a alpha ἀντὶ τοῦ “ἀποδράμῃς, ἀποσκιρτήσῃς ENM καταλήψῃ E ἀπὸ τῆς θύρας”. EMA ἔστι δὲ ἡ λέξις ἀπὸ τοῦ ἀργοῦ, ὃ δηλοῖ τὸ ταχύ, καὶ τοῦ λιπεῖν. οὐ ταχέως οὖν, φησίν, ἀποδραμῇ. EM

book 1253a beta ἀντὶ τοῦ “ἀποδραμεῖ, ἀποσκιρτήσεις ἀπὸ τῆς θύρας”. ἔνεστι δὲ ἐν τῇ λέξει τὸ ἀργόν, ὅπερ ἐστὶ τὸ ταχύ, καὶ τὸ λίον. οὐ ταχέως οὖν, φησίν, ἀποδραμεῖ. RV

book 1253b ἀπολιταργιεῖς ENM: λιταργισμοὺς ἐκάλουν τὰ σκιρτήματα. RVENM

book 1255a ὅτι M θήσω πρυτανεῖ: λείπει “γραφὴν κατὰ σοῦ”. ἐν γὰρ τῷ πρυτανείῳ ἐτίθεσαν τὰς τῶν ἀδίκων γραφάς. EM

book 1255b γραφὴν κατὰ σοῦ θήσομαι. ἐν γὰρ τῷ πρυτανείῳ ἐτίθεσαν τὰς τῶν δικῶν γραφάς. RV

book 1256a προσαποβαλεῖς RVENM ἄρ’ αὐτὰ M: ἀντὶ τοῦ “ζημιωθήσῃ καὶ τὰ πρυτανεῖα πρὸς ταῖς μναῖς ταῖς δώδεκα”. RVENM

book 1256b ἀπολέσεις, φησί, καὶ τὰ ἐπὶ τῇ γραφῇ ἀναλώματα μάτην αὐτὰ ποιήσας διὰ τὸ περιέσεσθαί σου τὸν υἱόν μου λέγοντα τὸν ἀδικώτερον λόγον. V

book 1256c ἀντὶ τοῦ “ἃ δίδως ὑπὲρ τοῦ δικάσασθαι”. E

book 1256d ὅ ἐστι τὸ δέκατον τοῦ τιμήματος τῆς δίκης· ὅπερ καλεῖται συνωνύμως παρακαταβολή. ENM

book 1257 ὡς βέβαιον ἔχων τὸ νικᾶν κατειρωνεύεται αὐτοῦ. VEΘNMA

book 1258a ὁτιὴ ’κάλεσας εὐηθικῶς E: ὅτι ἣν ἔδει σε καρδόπην εἰπεῖν, εἶπες RVE ἀπαιδεύτως E κάρδοπον. RVE

book 1258b εὐηθικῶς RV: ἀπαιδεύτως. RVbisE

book 1258c ’κάλεσας εὐηθικῶς] εἴρηκας V ἀνοήτως. VRs

book 1259-'60 προαναφώνημα VE τὸ “ἰώ μοι μοι” καὶ τὸ “ἔα”: διὸ διπλῆ· καὶ στίχοι ἰαμβικοὶ τρίμετροι τεσσαράκοντα γʹ. V

book 1261a ἐπεὶ τραγικῶς ἀνεφώνησε τὸ “ἰώ μοι μοι”. RVEΘNMA οἱ δὲ Καρκίνου παῖδες RVEΘMA

book 1261a alpha Ξενοκλῆς, Ξενότιμος καὶ Δημότιμος· καὶ οἱ μὲν χορευταί, EΘMA

book 1261a beta Ξενοκλῆς καὶ Ξενότιμος· καὶ ὁ μὲν χορευτής, RV

book 1261a Ξενοκλῆς δὲ τραγῳδίας ποιητής. RVEΘNMA

book 1261b τῶν Καρκίνου τις EΘM δαιμόνων EΘNM: παρ’ ὑπόνοιαν δέον εἰπεῖν RVEΘNMA παίδων. RVEΘNMbisA

book 1263 κατὰ σαυτὸν νῦν τρέπου M: οἷον καθ’ ἑαυτοῦ νῦν χώρει, καὶ μὴ καθ’ ἡμῶν. RVENMbisRs

book 1264-'65 alpha Εὐφρόνιος τὸ “ὦ Παλλάς, ὥς μ’ ἀπώλεσας” Ξενοκλέους εἶναί φησιν ἐκ τοῦ Λικυμνίου λεγόμενον ὑπ’ Ἀλκμήνης τοῦ Λικυμνίου ὑπὸ Τληπολέμου ἀνῃρημένου· διὸ καὶ ἐπήνεγκεν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτὸς τί δέ σε Τληπόλεμός ποτ' εἴργασται κακόν; καὶ τὸ ENp "θραυσάντυγες" Np 〈ἐκ τοῦ〉 "χρυσάμπυκες" E παραπεποιῆσθαι. ENp

book 1264-'65beta ὦ σκληρὲ δαῖμον RE: τοῦτο Ξενοκλέους RVE ἐστὶν ἐκ τοῦ Λικυμνίου, λέγεται δὲ ὑπ' Ἀλκμήνης Λικύμνιον τεθνηκέναι RV ὑπὸ Τληπολέμου· διὸ καὶ ἐπήνεγκε τί δέ σε Τληπόλεμός RVE ποτ' εἴργασται κακόν; Εὐφρόνιος παρὰ Ξενοκλεῖ εἶναί φησι τὸ "χρυσάμπυκες", RV ἐξ οὗ V παραπεποιῆσθαι. RV

book 1264a alpha ὦ σκληρὲ δαῖμον M: ἐπεὶ Ξενοκλέους τοῦ Καρκίνου ἀνεμνήσθη, τραγῳδεῖ καὶ τὰ αὐτοῦ εἰρηκὼς "ὦ σκληρὲ δαῖμον". E

book 1264a beta τοῦτο, ἐπεὶ ἐμνήσθη αὐτοῦ τοῦ πατρός. RV

book 1264b ἀπὸ τοῦ Εὐριπίδου δράματος Τληπολέμου. Rs

book 1266 ἄλλοι δὲ τραγικὸν ὑποκριτὴν εἶναι τὸν Τληπόλεμον, συνεχῶς ὑποκρινόμενον Σοφοκλεῖ. ENp

book 1269a κακῶς] ἀτυχῶς. REM

book 1269b πεπραγότι] λείπει τὸ ἐμοί. REM

book 1271a κακῶς ἄρ' εἶχες EM ὄντως E: διὰ τὸ ἄνω εἰρηκέναι "ἀνὴρ κακοδαίμων" RVEM καὶ "ἰώ μοι μοι" RVE ἐπήγαγε τὸ "ὄντως". V

book 1271b εὐηθικῶς. V

book 1272a ἵππους γ' ἐλαύνων: καὶ τοῦτο ἐκ παρῳδίας. ἅμα δὲ καὶ αὐτὸς ἱπποτροφῶν ἐδυσπράγησεν. EMNp

book 1272b ἵππους γ' ἐλαύνων] ἦν γὰρ καὶ οὗτος περὶ τὴν ἱππικὴν ἔχων. RVE

book 1272c ἐξέπεσον] τῶν χρημάτων RVE δηλονότι. E

book 1273a ὥσπερ ἀπ' ὄνου RENNp καταπεσών REN: πρὸς τὸ "ἀπὸ ἵππου" "ἀπ' ὄνου RVENNp καταπεσών" Np εἶπε RVENNp καὶ ἅμα πρὸς τὸ "ληρεῖς"· ἐπὶ γὰρ τῶν κατὰ μηδένα λόγον πραττόντων εἰώθασι τὸ "ἀπὸ ὄνου RVE καταπεσών" E λέγειν RVE τὴν παροιμίαν. RV ὁ μέντοι Πλάτων ἐν Νόμοις τὴν τελευταίαν περισπᾷ. ἢ ἔπαιξε πρὸς τὸ ὑπ' αὐτοῦ εἰρημένον, καὶ δέον εἰπεῖν "ἀπὸ τοῦ νοῦ" εἶπεν "ἀπὸ τοῦ ὄνου". ENp

book 1273b alpha ὥσπερ ἀπ' ὄνου καταπεσών Θ: γράφεται καὶ EΘNRs "ἀπ' ὄνου" καὶ EN "ἀπὸ νοῦ". EΘNRs

book 1273b beta τινὲς "ἀπὸ νοῦ" λέγουσιν. RV κεῖται δὲ παροιμία "ἀπ' ὄνου". φασὶ γάρ, ὅτι δύο τινὲς ἐπιτυχόντες ὄνῳ ἐπ' ἐρημίας EΘNANp καὶ ENNp φιλονεικοῦντες πρὸς ἀλλήλους περὶ τοῦ, τίς αὐτὸν λήψεται, ἔλαθεν αὐτοὺς ἄμφω ἀπολέσαντας αὐτόν. EΘNANp τούτων γὰρ μαχομένων ἀνεχώρησε τὸ ζῷον. ENNp

book 1273c 〈ἀπ' ὄνου καταπεσών: παροιμία ἀπὸ τῶν ἱππικῇ ἐπιχειρούντων, μὴ δυναμένων δὲ μηδὲ ὄνοις χρῆσθαι. ὁ δὲ φιλόσοφος Πλάτων οὐκ ἀπὸ τοῦ ζῴου τὴν παροιμίαν λέγεσθαι, ἀλλ' ἀπὸ τοῦ νοῦ οὕτως· "καὶ μὴ καθάπερ ἀχάλινον κεκτημένον τὸ στόμα, βίᾳ ὑπὸ τοῦ λόγου φερόμενον κατὰ τὴν παροιμίαν 'ἀπό τινος νοῦ καταπεσεῖν'".〉 Su. I 312, 11

book 1277a προσκεκλήσεσθαί REΘ γε μοι: ἀντὶ τοῦ EΘ "διὰ μαρτύρων ἀπαχθήσεσθαι, VEΘ εἰς δικαστήριον κληθήσεσθαι". REΘ

book 1277b ἀπὸ κοινοῦ τὸ "δοκεῖς". RVEΘ

book 1279a ὡς ταῦτα μαθὼν παρὰ Σωκράτους κατὰ τὸ σιωπώμενον. V

book 1279b καινὸν] νέον. EMRs

book 1279c τὸν Δία ὕειν ὕδωρ ἑκάστοτ' M ἢ τὸν ἥλιον EΘM ἕλκειν EΘ κάτωθεν E: νέον ὕειν ὕδωρ νομίζεις, φησίν, ἢ πάλιν ἀντεπαγόμενον αὐτὸ ὑπὸ τοῦ ἡλίου; EΘM

book 1286a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦτο δ’ ἔσθ’ ὁ τόκος EM τί θηρίον M: τινὲς τὸ “θηρίον” πρὸς τὸν δανειστὴν λέγουσιν εἰρῆσθαι· ἀντὶ τοῦ “ὦ θηρίον, τί ἐστιν ὁ τόκος;” EMNp

book 1286b ἐπεὶ γέννημά φαμεν ἐπὶ θηρίου καὶ τόκον. RVEMNp

book 1286c τὸ θηρίον τοῦτο τί ἐστιν, ὁ τόκος; VE

book 1289 ὑπορρέοντος] προβαίνοντος, RVEM ἀναλισκομένου. RVEMRs

book 1290 τί δῆτα τὴν θάλατταν: τί δῆτά ἐστιν ἃ νομίζεις; καὶ τοῦτο ἔμαθε κατὰ τὸ σιωπώμενον. EM

book 1292 οὐ γὰρ δίκαιον NM πλείον’ εἶναι M: οὐ γὰρ λυσιτελὲς RVENMbis οὐδὲ συμφέρον ENMbis τῆς γῆς πλείονα εἶναι RVENM τὴν θάλατταν. RV- ENMbis

book 1297a φέρε μοι τὸ κέντρον M: τὸ ἀμυντήριον. RVENMbis

book 1297b ταῦτ’ ἐγὼ μαρτύρομαι] ταῦτα ἔοικεν ὁ μάρτυς λέγειν τῷ δανειστῇ. RVE

book 1298a alpha οὐκ ἐλᾷς ὦ σαπφόρα: τοῦτο τινὲς τοῦ Στρεψιάδου, τινὲς ὅλον τοῦ κλητῆρος. EN

book 1298a beta οὐκ ἐλᾷς ὦ σαπφόρα: τινὲς ὅλον· λέγει δὲ ὁ Στρεψιάδης. M

book 1298b ἀντὶ τοῦ “οὐκ ἀναχωρεῖς;”. V

book 1298c ἀντὶ τοῦ “ὦ κλῆτορ”· ὡς ἵππῳ δὲ αὐτῷ διαλέγεται. ENM

book 1299a alpha ἄξεις ἐπιαλῶ EΘN: ἔστιν ἡ γραφὴ δισσή, καὶ “ἐπὶ ἄλω” καὶ “ἐπιαλῶ”. EΘNNp

book 1299a beta ἄξεις ἐπιάλων R: ἔστιν ἡ γραφὴ δισσή, “ἐπιάλων” καὶ “ἐπιαλῶ”. RV

book 1299a καὶ πρὸς μὲν τὸ περισπώμενον “ἐπιαλῶ” εἴη ἂν ἀπειλητικῶς λέγειν, οἷον “ἄξεις, ὁρμήσεις σεαυτὸν ἐντεῦθεν· ἐπιαλῶ σε”, ὅ ἐστιν ἐλάσω σε καὶ διώξω σε κεντῶν ὑπὸ τὸν πρωκτὸν ὥσπερ ἵππον παρήορον· πρὸς δὲ τὴν ἑτέραν γραφὴν οὕτως ἠθικῶς λέγοντος, οἷον “ἀπάξεις σὺ τὸν σειραφόρον εἰς μυλῶνα ἐπὶ τὸ ἀλήθειν” ἀντὶ τοῦ “ἄπαγε σύ σου τὸν ἵππον κἀκεῖθεν τραφήσῃ”. RVEΘNNp τινὲς δὲ οὕτως· “ἄξεις ἐπιβαλών”. RV

book 1299b ἐὰν μὲν οὗτος ὁ λόγος ᾖ ἠθικός, “ἀπέρχῃ; ἢ ἐπιβαλῶ τὴν μάστιγα κεντῶν σε ὑπὸ τὸν πρωκτὸν ὡς σειραφόρον”· ἐὰν δὲ “ἐπὶ ἄλω”, οὕτως· “ἀπέρχῃ ἐπὶ ἅλωνα κεντῶν σου τὸν σειραφόρον ἐπὶ τὸ ἐργαζόμενον ἐκεῖθεν τραφῆναι; οὐδὲν γὰρ ἐντεῦθεν λήψῃ”. οἱ δὲ οὕτως· “ἐπιβαλών σοι τὴν μάστιγα καὶ δέρων τὸν πρωκτὸν ἄξω σε”. ἀπὸ μεταφορᾶς τῶν κεντουμένων ἵππων βραδέων ὑπὸ τῶν ἡνιόχων. E

book 1299c ἐν ἤθει τὸ “ἄξεις”. λέγει· οὐκ ἀπάξεις ποτὲ ἐντεῦθεν καὶ πορεύσῃ; EΘN

book 1299d συμβουλεύει αὐτῷ ἀλοάσοντα μισθοῦ πορεύεσθαι, ἵνα τρέφειν ἔχῃ τοὺς ἵππους. EΘN

book 1299e alpha ἐπιαλῶ: μέλλων· ἀπὸ τοῦ ἰάλλω. λέγει δέ· ἐπιπέμψω σοι. EΘN

book 1299e beta ἐπιαλῶ: ἀντὶ τοῦ “πέμψω σοι”. EN

book 1299f ἐπεὶ ἁλῶ. V

book 1299g ἐπεὶ ἁλῶ] γρ. ἐπὶ ἅλω. E

book 1299h ἅλω] γρ. ἁλῶ. Rs

book 1300a μήποτε οὐκ ἔστι “σέ”, ἀλλὰ “σύ”· εἰ μὴ ἄρα λέγει· ἄξεις σεαυτὸν ὡς τὸν σειραφόρον, ὅπου αὐτὸς ἐργάζῃ. V

book 1300b πρὸς μὲν τὸ “ἐπιάλων” τὸ σύ, πρὸς δὲ τὸ “ἐπιαλῶ” τὸ σέ. RV

book 1300c σειραφόρον: ἀντὶ τοῦ RV “παρήορον”. RVEN

book 1300d σειραφόρος ὁ ἔξω τοῦ ζυγοῦ. EΘN

book 1302 λείπει ἡ σύν. RV

book 1303a

κορωνὶς καὶ μέλος τοῦ χοροῦ κώλων ιη′, ὧν τὸ πρῶτον ἰαμβικὸν τρίμετρον ἀκατάληκτον. καὶ ΕΘRs ἐν εἰσθέσει κῶλα τέτταρα, ὧν τὸ πρῶτον RVEΘRs ἰωνικὸν ἡμιόλιον, RVEΘ τὰ δὲ 〈ἕτερα ἰαμβικὰ δίμετρα ἀκατάληκτα. εἶτα〉 τρία κῶλα τροχαϊκά, καταληκτικὰ 〈ἐκ〉 κατακλεῖδος καὶ βάσεως 〈β′〉 καὶ μονόμετρον ἀκατάληκτον. καὶ τὸ 〈ἔνατον〉 ἐκ τροχαϊκῆς βάσεως καὶ χοριάμβου ἡμιολίου, ὥστε συλλαβὴν ἐνδεῖν τοῦ καλουμένου σαπφικοῦ ἐνδεκασυλλάβου. ΕΘ

book 1303b οἷον τὸ πραγμάτων RRs ἐρᾶν R: ἰστέον, ὅτι ἐκεῖνοι διαλεχθέντες ἀπεληλύθασιν, ὁ δὲ χορὸς ἐπὶ τῆς σκηνῆς ὢν ταῦτα διέξεισι περὶ τοῦ Στρεψιάδου προαναφωνῶν διὰ τούτων καὶ αἰνιττόμενος ἃ μέλλει πείσεσθαι ὁ Στρεψιάδης ὑπὸ τοῦ υἱοῦ. RVEΘRs

book 1303c οἷον τὸ πραγμάτων ΕΘΜ ἐρᾶν φλαύρων ΘΜ: αἰνίττεται εἰς τὸν Στρεψιάδην λέγων· ὅτι δεινόν ἐστι καὶ ἀηδὲς τὸ ἀτόπων ἐρᾶν. VEΘΜ

book 1305 ἀποστερῆσαι βούλεται] ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Ε

book 1308 πρᾶγμ’ Μ: ἀντὶ τοῦ “κακόν”. RVEM

book 1309a τὸν σοφιστήν Ε: τὸν φιλόσοφον RVEM—τὸν παῖδα ἢ τὸν γέροντα RVEMbis—ἀπὸ τοῦ σοφίζεσθαι. RVEM

book 1309b τὸ “ὧν” RV ἀντὶ τοῦ RE “ἀνθ’ ὧν”. RVENM

book 1310 τι κακὸν λαβεῖν Μ: καυθήσεται γὰρ ἡ διατριβὴ Σωκράτους. EMbis

book 1311 αὐτὸν: ἀντὶ τοῦ “Στρεψιάδην”. R

book 1317 οἷσπερ ἂν ξυγγένηται] οἷς RENM ἂν Μ ἀντιταχθῇ. RENM

book 1318 κἂν λέγῃ] καὶ REN οἷς EN ἀντιλέγῃ. RENM

book 1319a alpha (1319—’20) ἴσως Ε- (Μ9) δ’ Ε ἴσως βουλήσεται] 〈τὰ〉 τελευταῖα δύο δίμετρα ἰαμβικά, ἀκατάληκτον καὶ καταληκτικόν. Ε(Μ9)

book 1319a beta τὰ β′ κῶλα ταῦτα ἄνισά εἰσι 〈τοῖσ〉 τῆς ᾠδῆς· εἰσὶ δὲ ἰαμβικὰ δίμετρα, ἀκατάληκτον καὶ καταληκτικόν. Rs

book 1319b ἴσως βουλήσεται Ε: εὔξεται παρ’ αὐτοῦ ἀδικούμενος καὶ δεινὰ πάσχων τέλεον αὐτὸν ἄφωνον εἶναι. RVE

book 1321a (1321—244) ἰοὺ ἰού ΕΘRs: διπλῆ καὶ ἔκθεσις εἰς ἰάμβους τριμέτρους ἀκαταλήκτους εἴκοσι καὶ τρεῖς ΕΘRs (Chis) κεχρημένους προαναφωνήσει τῷ “ἰοὺ ἰού”. τινὲς δὲ ἁπλοῦν τὸ “ἰού” φασίν. ERs

book 1321b ἰοὺ ἰού, VM ὦ γείτονες V: σχετλιάζων ἔξεισιν ὁ πρεσβύτης ὡς ὑπὸ τοῦ παιδὸς τετυμμένος. δῆλον ὅτι ταῦτα πάντα διαπέπλασται ἐν τῷ πρὸς Σωκράτην ἢ διαβολῆς χάριν, δεικνύναι διὰ τούτων φιλοτιμούμενος, ὅτι μηδὲν χρηστὸν διδάσκει τοὺς νέους, ἀλλὰ VEM πᾶν V τοὐναντίον πονηροὺς VEM ποιεῖ, Μ ὁπότε καὶ περὶ τοὺς γεγεννηκότας τοιοῦτοι γίνονται. VEM

book 1321c ἰοὺ ἰού] ἤρξατο τύπτειν Στρεψιάδην ὁ υἱός. EN

book 1323a τὸ ἀμύνειν καὶ ἀμυνάθειν λέγουσιν· RVE ἀπὸ τούτου οὖν ἐσχημάτισται. RV

book 1323b πάσῃ τέχνῃ Ε: ἀντὶ τοῦ RVE “πάντι τρόπῳ, RVENMRs πάσῃ δυνάμει”. RVE

book 1325 φήμ’] ναί. ERs

book 1328 καὶ πλείω λέγε] ἀντὶ τοῦ “χείρονα VE καὶ πλείω τούτων Ε εἰπέ”. VE

book 1332 ἀντὶ τοῦ “δικαίως σε ἔτυπτον”. V

book 1335 ἀντὶ τοῦ R “κατὰ REN πολύ”. R

book 1338 ἐδιδαξάμην RE 〈...〉 σε Ε: ἀντὶ τοῦ RV “ἐδίδαξα”. RVEN παθητικὸν ἀντὶ ἐνεργητικοῦ. δύναται δὲ εἶναι μεσότητος ἀττικῶς ἀντὶ τοῦ “ἐξεπαίδευσα”. RVE

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1345a (1345—’52) σὸν ἔργον, ὦ πρεσβύτα: διπλῆ καὶ εἴσθεσις εἰς ἐπῳδικὴν τριάδα ἢ τετράδα, ἧς αἱ μὲν ὅμοιαι περίοδοι ἐξ ἰαμβικοῦ τριμέτρου ἀκαταλήκτου ἐν ἐκθέσει καὶ ἰωνικοῦ ἡμιολίου ἐν εἰσθέσει· ἡ δὲ ἐπῳδὸς ἐκ κώλων δύο, ἰαμβικοῦ τε διμέτρου ἀκαταλήκτου 〈καὶ τοῦ〉 ἐξ ἰαμβικῆς βάσεως καὶ τροχαϊκοῦ πενθημιμεροῦς. καὶ ἐν ἐκθέσει τὸ σύνηθες διστίχιον. E

book 1345b φροντίζειν] βουλεύεσθαι. RVE

book 1345c ὅπῃ: ἀντὶ τοῦ RVE “ποίῳ τρόπῳ”. RVENM

book 1348 ἀκόλαστος] τολμηρός. REM

book 1349 ἀλλ’ ἔσθ’ ὅτῳ θρασύνεται] ἀλλ’ ἔστι τι, RE ἐφ’ ᾧ RERs θρασύνεται. RE

book 1350 ἕως ὧδε ἴαμβος. τὸ δὲ “ἐστὶ τἀνθρώπου” ὅμοιον τῷ “ἀλλ’ οὐδ’ ἐρεβίνθου”, ὅ ἐστιν ἰωνικὸν ἡμιόλιον. Rs

book 1351 ἐξότου (sic)] ἐκ τίνος. E

book 1352 ἤδη λέγειν χρὴ EQNM πρὸς χορόν REΘN: οὕτως ἔλεγον “πρὸς χορὸν λέγειν”, ὅταν τοῦ ὑποκριτοῦ διατιθεμένου τὴν ῥῆσιν ὁ χορὸς ὀρχῆται. RVEΘNMRs διὸ καὶ ἐκλέγονται ἢ τετράμετρα ἢ ἀνάπαιστοι λέγειν· ὁ γὰρ ῥυθμὸς ῥᾳδίως προσπίπτει τούτοις. RVEΘNRs

book 1353 καὶ μὴ ὅθεν γε πρῶτον EΘ: κορωνὶς καὶ E στίχοι ὅμοιοι τῷ διστιχίῳ λγʹ, ὧν τελευταῖος ἐξέφερον ἂν καὶ προὐσχόμην· EΘRs 〈σὺ δέ με νῦν ἀπάγχων. μεθ’ ὃν τρία κῶλα ἰαμβικὰ δίμετρα ἀκατάληκτα καὶ στίχος ὅμοιος τοῖς ἄνω.〉 Ald

book 1354 ἑστιώμεθ’ R: ἑστιᾶσθαί ἐστι τὸ εὐωχεῖσθαι. οὐχὶ δὲ τὸ παρά τινι πάντως ἔλεγον. RV

book 1355 λύραν λαβόντ’ EΘ: ἐν τοῖς συμποσίοις κύκλῳ τοῖς ἑστιωμένοις ὁ ἑστιάτωρ διδοὺς λύραν ἐκέλευεν ᾆσαι ᾠδήν. EΘM

book 1356a alpha ᾆσαι M Σιμωνίδου μέλος EΘM: Σιμωνίδου EΘRs ἐξ ἐπινίκου ἐπέξαθ’ ὁ Κριὸς οὐκ ἀεικέως. ἦν δὲ παλαιστὴς Αἰγινήτης. EΘMRs φαίνεται δὲ εὐδοκιμεῖν καὶ διαφανὴς εἶναι. E

book 1356a beta τὸν Κριὸν ὡς ἐπέχθη R: ἀρχὴ μέλους εἰς Κριὸν τὸν Αἰγινήτην RVE ἐπέξαθ’ ὁ Κριὸς οὐκ ἀεικέως. φαίνεται δὲ εὐδοκιμεῖν καὶ διαφανὴς εἶναι. RV

book 1356b τῇ πρὸς τὸ ζῷον κοινωνίᾳ τῆς λέξεως συνέπλεξε τὰς κοινωνίας ὁ ποιητὴς λέγων ἐπέξαθ’ ὁ Κριὸς οὐκ ἀεικέως ἐλθὼν εἰς δένδρον ἀγλαὸν Διὸς τέμενος. E

book 1356c ὡς ἐπέχθη] ὡς R ἐκάρη. RVEN

book 1357a ἀρχαῖον R: οὐδενὸς λόγου ἄξιον, RVEM ληρῶδες, RVM ἀνόητον. VEN

book 1357b ἀρχαῖον εἶν· ἔφασκε: ἀντὶ τοῦ EΘM “μωρόν”. EΘMbisRs παραιτοῦνται γὰρ οἱ φιλόσοφοι κιθαρίζειν ἐν τῷ πίνειν. EΘMNp

book 1358a ὡσπερεὶ κάγχρυς EΘNM γυναῖκ’ ἀλοῦσαν R: καθάπερ τινὰ γυναῖκα κριθὰς ἀλοῦσαν. διαβάλλει δὲ λεληθότως τὸ τῶν γυναικῶν γένος, αἷς ἔργον πίνειν RVEΘNM(Chis) καὶ ἕτερόν τι διαπραττομέναις. VEΘNM(Chis)

book 1358b κάχρυς: ἀντὶ τοῦ EM “κριθὰς EMbisA πεφρυγμένας”. ᾄδουσι δὲ αἱ ἀλήθουσαι ὑπὲρ τοῦ παραπέμψασθαι τὸν κάματον. EM

book 1360a πολύλαλον γὰρ τὸ ζῷον. RV

book 1360b ὡσπερεὶ τέττιγας: παρεποίησε τὸ ᾄδειν καί φησιν· ὅτι τὸ ᾄδειν φλυαρεῖν ὡς τέττιγας καὶ οὐδὲν ἄλλο ἢ ὡς γυναῖκας ᾄδειν ἀλετρευούσας. EΘ

book 1364a ἀλλὰ μυρρίνην λαβόντα EΘN: μυρρίνης γὰρ κλάδον κατέχοντες ᾖδον τὰ Αἰσχύλου. EΘNA

book 1364b μυρρίνην λαβόντα R: παρὰ τὰ Αἰσχύλου “οὕνεκ’ ἐκεῖ ἄνθεα λειμώνια”. RVEΘN

book 1364c

Δικαίαρχος ἐν τῷ περὶ μουσικῆς· “ἐπεὶ δὲ κοινόν τι πάθος ἀεὶ φαίνεται συνακολουθεῖν τοῖς διερχομένοις εἴτε μετὰ μέλους εἴτε ἄνευ μέλους ἔχοντα ἐν τῇ χειρὶ ποιεῖσθαι τὴν ἀφήγησιν. οἵ τε γὰρ ᾄδοντες ἐν τοῖς συμποσίοις ἐκ παλαιᾶς τινος παραδόσεως κλῶνα δάφνης ἢ μυρρίνης λαβόντες ᾄδουσιν”. RVEN

book 1366 σκώπτει καὶ Αἰσχύλον καὶ Σιμωνίδην. VM

book 1367a ψόφου πλέων] ταραχώδη. E

book 1367b ἀσύστατον REΘN: οὐ συνεστῶτα οὐδὲ πυκνὸν ἐν τῇ ποιήσει, ἀλλ’ ἀραιὸν καὶ κομπώδη. RVEΘNMA

book 1367c τὰ γὰρ ῥήματα Αἰσχύλου φαντασίαν μὲν ἔχει, βασανιζόμενα δὲ οὐδεμίαν ἔχει πραγματείαν· RVEΘNM ἀσύστατα γάρ. EΘN

book 1367d alpha ἀσύστατον: οἷον ἀδιάθετον, ἀπιθάνους συνιστάντα τοὺς μύθους. EΘNM

book 1367d beta ἀσύστατον: ἀδιάθετον, ἀπιθάνως συντιθέντα τοὺς μύθους, V 〈κομπώδη〉. Su. IV 849, 18

book 1367e alpha παρὰ τὸ στόμα καὶ τὸν ὄμφακα. EN

book 1367e beta συνθέτῳ λέξει ἐχρήσατο ἀπὸ τοῦ στόματος καὶ τοῦ ὄμφακος, ἵν’ ᾖ λέγων· ὄμφακα ἔχων ἐν τῷ στόματι. V

book 1367f στόμφακα: σκληρόν. EbisNM

book 1367g οἷον τραχύν. RbisEN

book 1367h κρημνοποιόν EbisN: μεγάλας λέξεις ποιοῦντα. RVEbisNM

book 1368 ὀρεχθεῖν M: κινεῖσθαι, συνταράττεσθαι. RVM

book 1371 ἐκίνει] ἐσυνουσίαζε. E

book 1372a ἀδελφός, ὦ ’λεξίκακε ENM: τὴν Κανάχην ὁ Μακαρεύς. RVEN- MA τὸ δὲ “ἀλεξίκακε” διὰ μέσου ἀναπεφώνηται. σημειοῦται δὲ τὸν Εὐριπίδου Αἰόλον· ἐκεῖ γὰρ τὰς ἀδελφὰς γαμοῦσιν ἀδελφοί. RVENM ὡς ἐπὶ Ἡρακλέους δὲ τὸ “ἀλεξίκακε”. ENM

book 1372b γέγραπται δρᾶμα Εὐριπίδῃ οὕτω λεγόμενον, Αἰόλος· ἐν ᾧ παρήγαγε τὸν παῖδα Αἰόλου Μακαρέα φθείροντα Κανάχην τὴν ἀδελφήν. VENMNp

book 1372c ἐξ Αἰόλου. Πγ

book 1372d ἐπειδὴ παρὰ Ἀθηναίοις ἔξεστι γαμεῖν τὰς ἐκ πατέρων ἀδελφάς, εἰς αὔξησιν τοῦ ἀδικήματος προσέθηκε “τὴν ὁμομητρίαν”. εἶτα εὐφυῶς ἐσχετλίασεν ἐπάγων τὸ “ἀλεξίκακε”, τουτέστιν “ἀποτρόπαιε” καὶ “ὦ τὰ δεινὰ ἀπείργων”. ἴδιον γὰρ Ἡρακλέους τὸ ἐπίθετον. VE

book 1373a ἐξαράττω M: λοιδορῶ αὐτόν, RVEMbis κρούω, πλήττω πολλοῖς κακοῖς. RVEM

book 1373b ταράττω. Πγ

book 1375 πρὸς ἔπος ἠριδόμεσθ’ M: ἀντεβάλλομεν, RV ἐφιλονεικοῦμεν, RVENM ἀντετείναμεν. M

book 1376a ἔφλα] ἔτυπτε. REN

book 1376b κᾀσπόδει M: ἐκονιόρτου, VENM ἐσπόδει. VM

book 1376c κᾀπέτριβεν: ἀντὶ τοῦ M “συνέτριβεν”. RVENMRs

book 1379a τυπτήσομαι] λείπει τὸ φοβοῦμαι. REM

book 1379b δικαίως. Πγ

book 1380 λείπει τύπτομαι. R

book 1381a τραυλίζοντος EMpr.: ψελλίζοντος ΠγRVENMalt. καὶ RVE μηδὲν ἔναρθρον λαλοῦντος. ΠγRVEMbis

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1381b νοοίης: ἀντὶ τοῦ RV "ἔχεις ἐν τῷ νῷ". RVENM

book 1382alpha εἰ μέν κεν βρῦν: ἄσημος φωνή, ἣν οἱ παῖδες φθέγγονται. M

book 1382beta ἄσημος φωνὴ ἡ τῶν παίδων, ὁπότ' ἂν πιεῖν ζητῇ. V

book 1383 μαμμᾶν: ἄσημον φωνὴν τῶν παίδων λαλούντων. EN

book 1384 ἀφοδεύειν τὰ παιδία. πρίν σε εἰπεῖν προέτεινόν σε ἀπὸ τῆς κλίνης καὶ ἔξω τῶν ἱματίων, ἵνα ἀποπατήσῃς. RV

book 1387 χεζητιῴην] ὑπὸ τῶν πληγῶν RM δηλονότι. M

book 1390 αὐτοῦ] αὐτόθι. REN

book 1391 1391] ἀντίστροφος. Rs

book 1392 ἀντὶ τοῦ "εἰς ἅ". R

book 1393 εἰ ... ἐξειργασμένος] ἴαμβος. E

book 1394 λαλῶν ἀναπείσῃ] ἰωνικὸν ἡμιόλιον. EM

book 1395a τὸ ... ἄν] ἴαμβος. E

book 1395b οὕτως ἀφανισθήσεται πληγαῖς, ὡς νομίσαι ἡμᾶς καὶ τοῦ δέρματος ἐρεβίνθου λεπτότερον αὐτοὺς ἔχειν. EN

book 1396a ἀλλ' οὐδ' ἐρεβίνθου] ἰωνικὸν ἡμιόλιον. ERs

book 1396b ἐρεβίνθου] τοῦ ERs αἰδοίου. ENRs

book 1396c 〈ὁ δὲ πρεσβύτης φησίν "ἀλλ' οὐδ' ἐρεβίνθου".〉 Su. II 404, 29

book 1397a σὸν ἔργον MRs ὦ καινῶν ἐπῶν M: διπλῆ καὶ ἔκθεσις εἰς ἰάμβους τετραμέτρους καταληκτικοὺς μζ', ὧν τελευταῖος τὴν μητέρ' ὥσπερ καὶ σὲ τυπτήσω. EMRs

book 1397b πρὸς τὸν Φειδιππίδην φησὶν ὁ χορός. EN

book 1400a καὶ τῶν καθεστώτων M: τῶν ὡρισμένων, RVEMbis τῶν κειμένων. ENMbis

book 1400b alpha ὑπερφρονεῖν: τὸ E καταφρονεῖν. ERs

book 1400b beta ἢ ὑπερ– ἀντὶ τῆς κατα–. RV

book 1400c ὑπερφρονεῖν] ὑπερηφανεῖν. VEN

book 1403 τῆς ἱππικῆς. RV

book 1404 ταῖς τῶν φιλοσόφων. RV

book 1406 ἵππευε τοίνυν] ἵππων RVENM καὶ νῦν M φρόντιζε. RVENM

book 1407 ἀντὶ τοῦ R "βλαβῆναι". RE

book 1408 ἀπέσχισάς με] ἐκώλυσας, ἐχώρισας. RVENM

book 1415 παρὰ τὰ ἐξ Ἀλκήστιδος Εὐριπίδου χαίρεις ὁρῶν φῶς· πατέρα δ' οὐ χαίρειν δοκεῖς; VE

book 1416 τοῦτο] τὸ τύπτεσθαι. ΠΓRVERs

book 1417 ὡς δὶς παῖδες οἱ γέροντες VEM: παῖδες γὰρ ὄντες ἄφρονες ἦσαν, ὑπεργηράσαντες δὲ πάλιν ληροῦσι RVEM καὶ παιδίων φρένας ἔχουσιν. RV

book 1419a οἱ γὰρ παῖδες ἐξαμαρτάνοντες συγγνώμης μᾶλλον ἄξιοι διὰ τὸ νέον τῆς ἡλικίας. ENp

book 1419b ἀντὶ τοῦ "μηδὲ ὅλως". R

book 1421a οὔκουν ἀνὴρ ὁ τὸν νόμον θεὶς τοῦτον M: ἐν ἠθικῇ ἐρωτήσει. RVENM

book 1421b ἀντὶ τοῦ "οὐκ ἦν ἀνὴρ RVENM ὁ τὸν νόμον θεὶς τοῦτον;" M

book 1423

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἧττόν τι δῆτ’ ENM ἔξεστι EM κἀμοὶ M: ἀντὶ τοῦ “κἀμοὶ οὐδὲν ἧττον ἔξεστι τοῦ παλαιοῦ νομοθέτου”. RVENM

book 1425 πρὶν τὸν νόμον τεθῆναι R: ὃν νῦν τίθεμεν δηλονότι. RE

book 1426a ἀφίεμεν] συγχωροῦμεν. RV

book 1426b ἀντὶ τοῦ R “τυπτῆσαι RVEN ἡμᾶς”. RVE

book 1427 τὰ R βοτὰ RN: τὰ βοσκόμενα τὴν πόαν. RVENM

book 1428 οὐδέν. V

book 1429a ψηφίσματ’ οὐ γράφουσιν M: ἀντὶ τοῦ ENM “δικαστήρια οὐκ ἄγουσιν”. ENMbis

book 1429b εἰς τὸ φιλόδικον τῶν Ἀθηναίων αἰνίττεται. RVEM

book 1430 τί δῆτ’] διὰ τί δή; RVEM

book 1432a οὐδ’ ἂν Σωκράτει δοκοίη EΘ: ἀπορήσας λύσεως ἐπὶ τὴν τοῦ Σωκράτους δόκησιν ἀνάγει πιστοτέραν οὖσαν. τὰ δὲ πρόσωπα οὕτως· ἀπὸ τοῦ “οὐ ταὐτόν” ἕως τοῦ “πρὸς ταῦτα” τοῦ νέου ἐστίν, EΘM ἵν’ ᾖ τὸ ἑξῆς· οὐ ταὐτόν ἐστι τοῦτο, ὃ εἶπας σύ, πρὸς ταῦτα, ἃ εἶπον ἐγώ. EΘ

book 1432b Σωκράτει] τῷ ἐμῷ διδασκάλῳ. RVE

book 1434 καὶ πῶς; EM ἐπεὶ σὲ μὲν δίκαιος E: ἀντὶ τοῦ “καὶ πῶς EM ἐμαυτὸν αἰτιάσομαι; EMbisRs ἔξεστι γάρ μοι τύπτειν σε· ὥσπερ καὶ σύ, ἐὰν ἔχῃς υἱόν.” EM

book 1436 σὺ δ’ ἐγχανὼν M: ἀντὶ τοῦ EM “καταγελάσας”. RVENMbis

book 1437 ἐμοὶ μὲν ὦνδρες M: τοὺς τρεῖς τοὺς ἑξῆς ὁ πρεσβύτης πρὸς τοὺς θεατάς. VM

book 1438a alpha τούτοισι EN τὰ ’πιεικῆ: τὰ ὅμοια κατὰ τὸ προσῆκον καὶ ἀκόλουθον. ENM

book 1438a beta τὰ ’πιεικῆ R: τὰ ἀκόλουθα καὶ ὅμοια. RV

book 1438b συγχωρεῖν τοῖς νέοις τύπτειν ἡμᾶς. RVENM

book 1438c εἰ δεῖ συγχωρεῖν τοῖς ἐπιεικέσιν, συγχωρεῖν αὐτοῖς. EM

book 1440 ἐὰν μὴ προσσχῶ γάρ, ἀπολοῦμαι τυπτόμενος παρὰ σοῦ. RV

book 1444a τοῦθ’ ἕτερον αὖ μεῖζον: διπλῆ καὶ μέλος ἀμοιβαῖον, οὗ ἡ ἀρχὴ “τοῦθ’ ἕτερον αὖ μεῖζον”, τέλος δὲ “καὶ τὸν λόγον τὸν ἥττω”. ἔστι δὲ ἰαμβικὰ τρίμετρα ἀκατάληκτα 〈τὰ〉 μέσα τρία· καὶ τὸ πρῶτον ἰαμβεῖον τετράμετρον καταληκτικόν. τινὲς δὲ διαιροῦσι τοῦτο εἰς δύο, ἐπειδὴ καὶ τὰ πρόσωπα κεχωρισμένα εἰσί· καὶ γίνεται μεσῳδικὴ τριὰς ἑκατέρωθεν ἔχουσα δικώλους. τινὲς δὲ 〈τὴν〉 μέσην τετράκωλον. E

book 1444b διπλῆ καὶ μέλος ἀμοιβαῖον, οὗ ἡ ἀρχὴ “τοῦθ’ ἕτερον” καὶ τὸ τέλος “καὶ τὸν λόγον τὸν ἥττω”. τὸ πρῶτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον, 〈τὸ δὲ δεύτερον καταληκτικόν〉. τινὲς δὲ μιγνύουσιν ὅλον καὶ ποιοῦσιν ἰαμβικὸν τετράμετρον· ὃ καὶ ἄμεινον. καὶ ἑξῆς δὲ τῶν γ′ ὁμοίως. Rs

book 1452a πρὸς τὸν χορὸν ὁ λόγος. N

book 1452b ταυτὶ δι’ ὑμᾶς Rs: ἐν ἐκθέσει ἴαμβοι τρίμετροι ἀκατάληκτοι μα′, ὧν τελευταῖος ἐμοὶ ποιήσω, κεἰ σφόδρ’ εἴς’ ἀλαζόνες. εἶτα ἀναφώνημα, τὸ “ἰοὺ ἰού”: καὶ πάλιν ἴαμβοι ι′ ἔξ, καὶ τὸ τελευταῖον τοῦ δράματος, ἀναπαιστικὸν τετράμετρον καταληκτικόν. ὑφ’ ὃ κορωνὶς ἡ καὶ τὸ δρᾶμα ἀποτερματίζουσα. ERs

book 1453 ἀναθεὶς] ἀντὶ τοῦ RV “ἐπιτρέψας”. RVEN

book 1457 ἐπήρατε] ἐπείσατε, RVEN ἠπατήσατε. RVENM

book 1464 νῦν οὖν ὅπως ὦ φίλτατε: ἐλλείπει τὸ E υἱέ EM ἢ παῖ. τοῦτο παρεπιγράφεται· E πρὸς γὰρ τὸν υἱὸν μετέβη. ENM

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1468a πατρῷον Δία EN: πατρῷος Ζεὺς καὶ Ἀπόλλων ἐν Ἀθήναις τιμᾶται. ENM ὁ Ζεὺς μὲν μετὰ τὴν ἐν Ἀρκαδίᾳ, ἢ ὡς ἕτεροι μετὰ τὴν ἐν τῇ Κρήτῃ, ἀνατροφήν, ὅτε πρῶτον ταῖς Ἀθήναις ἐπέστη καὶ ἐφάνη τοῖς πατράσιν αὐτῶν, EM οἵτινες ταύτῃ τῇ προσηγορίᾳ τετιμήκασιν αὐτόν. Ἀπόλλων δέ, ὅτε Ἐρεχθέως τὴν θυγατέρα ἔγημε τὴν Κρέουσαν, ἐξ ἧς γίνεται ὁ Ἴων. ὡς πρόγονον οὖν αὐτὸν ἐτίμων καὶ οἱ ἄρχοντες, ὅτε ἐχειροτονοῦντο. ἐκ γὰρ τοῦ μὴ εἰδέναι ξένους αὐτοὺς ἐνόμιζον. E

book 1468b πατρῷον Δία R: οὕτω τιμᾶται παρ’ Ἀθηναίοις Ζεὺς πατρῷος καὶ Ἀπόλλων RVE διὰ τὸ πρώτους ὑποδέξασθαι τὴν θεὸν εἰς τὴν χώραν καὶ θυσίαν συντελέσαι κατὰ φρήτρας καὶ δήμους καὶ συγγενείας μόνους τῶν Ἑλλήνων. RVEN

book 1469 ἰδού γε Δία ENM πατρῷον EM: ἐξ ὧν ὁ πατὴρ ἐπελάβετο αὐτοῦ ἀνωτέρω, ἐκ τούτων καὶ αὐτὸς πειρᾶται τοῦ πατρὸς λαμβάνεσθαι. RVENM

book 1473a διὰ τουτονὶ τὸν Δῖνον M: δεικτικῶς· τὸ ἐν τῷ φροντιστηρίῳ μηχάνημα ὀστράκινον, RVEbisNbisM ὡς σφαῖρα. RVEalt.Nalt.

book 1473b alpha ὡς ἀγάλματος Δίνου ὄντος ἐν τῇ διατριβῇ Σωκράτους ὀστρακίνου. VE

book 1473b beta ὡς ὀστρακίνου ἀγάλματος ὄντος πρὸ τῆς διατριβῆς. E

book 1474a ὅτε E καὶ σὲ EM χυτρεοῦν: περιφερῆ ὡς χύτραν. ὠνοματοποίησε καὶ ἔθετο ὄνομα αὐτῷ χυτρεοῦς. ENM λέγει δὲ τὸν τροχὸν τῶν κεράμων· παρὰ τὸ δινεῖσθαι. EN

book 1474b χυτρεοῦν E: μάταιον εὐτελές, χύτρας ἄξιον. RE

book 1477 ὅτ’ ἐξέβαλον τοὺς θεοὺς EΘ: ταῦτα εἰς διαβολὴν Σωκράτους ἐκβάλλοντος τὰ δαιμόνια. RVEΘM

book 1480a ἀδολεσχία EΘNM: τῇ ἀδολεσχίᾳ τῶν φιλοσόφων ὑπαχθέντος καὶ πεισθέντος. RVEΘNM

book 1480b ἀντὶ τοῦ “ἀνοητεύσαντος παρὰ τὸ πρέπον”. EΘNM

book 1480c ἀδολεσχία ἡ τῶν ἀηδῶν ὁμιλία. EΘNM

book 1480d οὕτως οἱ Ἀττικοὶ ἐκτείνουσι τὸ α. V

book 1482a διωκάθω] διώξω. RVEMARs

book 1482b γραψάμενος] κατηγορήσας. RVENMRs

book 1482c δοκεῖ] λείπει τὸ ποίησον. REM

book 1483a ὀρθῶς παραινεῖς M: ὡς τοῦ Ἑρμοῦ ἀνανεύσαντος. RM

book 1483b δικορραφεῖν M: ἀντὶ τοῦ R “κατηγορεῖν”. RVENMbis

book 1484 ἀλλ’ ὡς τάχιστ’ ἐμπιπρᾶναι: ὡς κατὰ τὸ σιωπώμενον ἀνανεύσαντος τοῦ Ἑρμοῦ μὴ τοῦτο ποιῆσαι, ἀλλ’ αὐτοὺς ἐμπρῆσαι. M

book 1485a ὦ Ξανθία] πρός τινα δοῦλον. EN

book 1485b δοῦλος αὐτοῦ. R

book 1486 σμινύην] ἀντὶ τοῦ R “δίκελλαν”. RVENMRs

book 1488 τέγος M: νῦν REM τὴν στέγην. RENM

book 1489 ἕως ἂν αὐτοῖς 〈ἐμβάλῃς〉 M: ἀντὶ τοῦ “ἐπιβάλῃς αὐτοῖς τὴν οἰκίαν”. RVEM

book 1493a μαθητὴς Σωκράτους. V

book 1493b εἷς τῶν φιλοσόφων. RV

book 1496 διαλέγομαι. RV

book 1500 μὴ προδῷ] ἀντὶ τοῦ RE “μὴ RVEM κλασθῇ”. RVENM

book 1501a ἐκτραχηλισθῶ] ἀντὶ 〈τοῦ〉 R “κλάσω τὸν τράχηλον. RENM

book 1501b κλασθῶ. V

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 1503a ὥσπερ καὶ Σωκράτης ἔφη RVENM ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον. RV

book 1503b πρὸς τοὺς λόγους αὐτῶν. RVEN

book 1503c ἀεροβατῶ: καὶ τοῦτο πρὸς τὸν προειρημένον λόγον τῷ Σωκράτει. M

book 1504 οἴμοι τάλας: ἀποπνιγήσομαι, φησίν, M ὑπὸ τοῦ καπνοῦ. RVEMbis

book 1505a ἕτερος φιλόσοφος. RV

book 1505b κατακαυθήσομαι] ὑπὸ τοῦ πυρός. E

book 1507a καὶ τῆς σελήνης M: ἀντὶ τοῦ "τὰς κινήσεις τῆς σελήνης". ἕδραν δὲ εἶπεν εἰς τὸ αἰσχρὸν ἀποτείνων τὸν λόγον ENM τῇ ἐπιφορᾷ. EM

book 1507b ἐπὶ τίνος ὀχεῖται καὶ πῶς καὶ διὰ τί μένει. RVEM

book 1508a πρὸς τὸν οἰκέτην. R

book 1508b πρὸς τὸν Ξανθίαν ὁ Ἑρμῆς. V

book 1508c δίωκε M: ὡς τῶν φιλοσόφων φευγόντων διὰ τὸ πῦρ. RVENM

book 1509 ὡς ἠδίκουν] γράφεται RENRs καὶ RN "οὓς RENRs ἠδίκουν". RE

book 1510a μετρίως EN τό γε τήμερον E: οἷον τήμερον ἀρκετῶς ἔχει ἡ ἡμέρα. RVENM 〈ὡς ἀπὸ τοῦ ποιητοῦ δὲ ὁ λόγος.〉 Ald

book 1510b κορωνίς· ὁ δὲ στίχος ἀναπαιστικὸς τετράμετρος καταληκτικός. Rs

book Subscript a κεκώλισται ἐκ τῶν Ἡλιοδώρου, παραγέγραπται δὲ ἐκ τῶν Φαείνου καὶ Συμμάχου καὶ ἄλλων τινῶν. VN

book Subscript b Ἀριστοφάνους Νεφέλαι. V

book Subscript c τέλος τῶν Ἀριστοφάνους Νεφελῶν. M

Eulogikon public reading copy · View original HTML at eulogikon.org